Τῆς αὐτῆς.	πέ.	Φύλλ. 183

Περὶ αἱρετικῶν μετανοούντων.

Βασιλείκ.	έ.	Φύλλ. 383

Πῶς ἐνδικοῦσιν οἱ Ἐπίσκοποι τοὺς ἁρμόζοντας αὐτοῖς τόπους παρὰ αἱρετικῶν κατεχομένους.

Συνόδου Καρθαγεν.	ρκδ'.	Φύλλ. 216

Περὶ τῶν πειρωμένων ἀθετεῖν τὰ ἐν Ἐφέσῳ πραχθέντα.

Συνόδου Ἐφεσ.	ς'.	Φύλλ. 80

Περὶ

Περὶ τοῦ δυνατὸν εἶναι τὸν λαϊκὸν τῆς ἁγίας κοινωνίας ἐπὶ ζωῆς κινδύνῳ ἐν πόλει διάγοντα, καὶ μὴ συνελθόντα τῇ Ἐκκλησίᾳ.

Συνόδου Σαρδικ.	ιά.	Φύλλ. 111
Συνόδου. ς'.	πά.	Φύλλ. 301

Περὶ λαϊκῶν δευτερογαμούντων, ἢ πολυγαμούντων, καὶ κεκωλυμμένων γάμων καὶ μίξεως.

Ἀποστόλων.	ιϑ'.	Φύλλ. 4
Τῶν αὐτῶν.	μή.	Φύλλ. 9
Συνόδου Ἀγκύρας.	ιε'. ιζ'.	Φύλλ. 33
Συνόδου Νεοκαισ.	β'. γ'. δ'.	Φύλλ. 36
Τῆς αὐτῆς.	ζ'.	Φύλλ. 37
Συνόδου Λαοδ.	ά.	Φύλλ. 59
Τῆς αὐτῆς.	ί.	Φύλλ. 61
Τῆς αὐτῆς.	λά.	Φύλλ. 63
Συνόδου Χαλκηδ.	ιε'.	Φύλλ. 93
Συνόδου ς'.	νβ'. νδ'.	Φυλλ. 290
Τῆς αὐτῆς.	οβ'.	Φύλλ. 298
Τῆς αὐτῆς.	ηϑ'.	Φύλλ. 309
Βασιλείου.	δ'.	Φύλλ. 382
Τοῦ αὐτοῦ.	κγ'. κδ'.	Φύλλ. 396
Τοῦ αὐτοῦ.	μά.	Φύλλ. 401

Τῦ αὐτῦ.	ν'.	Φύλλ. 403
Τῦ αὐτῦ.	νγ'.	Φύλλ. 404
Τῦ αὐτῦ.	ξζ'. ξή.	Φύλλ. 406
Τῦ αὐτῦ.	οέ. ος'.	Φύλλ. 408
Τῦ αὐτῦ.	οή. οϑ'.	Φύλλ. 409
Τῦ αὐτῦ.	π'.	Φύλλ. 409
Τῦ αὐτῦ ἐκ τ῀ πρὸς Διώδωρον Ἐπις.		Φύλλ. 413
Θεοφίλυ.	έ.	Φύλλ. 463

Περὶ τῶν ἁγίων ἀποθανόντων τὰς ἄνδρας αὐτῶν καὶ γαμετῶν.

Συνόδυ ς'.	ηγ'.	Φύλλ. 306
Βασιλείυ.	λά.	Φύλλ. 399
Τῦ αὐτῦ.	λς'.	Φυλλ. 400
Τῦ αὐτῦ.	μς'.	Φύλλ. 401

Περὶ τῶν διγαμησάντων.

Ἀποστολ.	έ.	Φύλλ. 2
Συνόδυ Γάγγρας.	ιδ'.	Φύλλ. 43
Συνόδυ Καρθαγενής.	ρή.	Φύλλ. 207
Συνόδυ ς'.	πή.	Φύλλ. 303
Βασιλείυ.	ϑ'.	Φύλλ. 386
Τῦ αὐτῦ.	λέ.	Φύλλ. 400
Τῦ αὐτῦ.	μή.	Φύλλ. 401

Τῦ αὐτῦ.	οζ'.	Φύλλ. 408

Περὶ πορνείας, καὶ μοιχείας, καὶ φθορᾶς καὶ ἀρρενοκοιτίας.

Ἀποστολ.	ξά.	Φύλλ. 12
Συνόδυ Ἀγκύρας.	κδ'.	Φύλλ. 34
Συνόδυ Νεοκαισαρ.	ή.	Φύλλ. 37
Συνόδυ ς'.	πζ'.	Φύλλ. 330
Τῆς αὐτῆς.	πή.	Φύλλ. 330
Βασιλείυ.	ζ'. ή.	Φύλλ. 384
Τῦ αὐτῦ.	κά. κβ'.	Φύλλ. 395
Τῦ αὐτῦ.	κέ. κς'.	Φύλλ. 397
Τῦ αὐτῦ.	λ'.	Φύλλ. 399
Τῦ αὐτῦ.	λδ'.	Φύλλ. 399
Τῦ αὐτῦ.	λζ'.	Φύλλ. 400
Τῦ αὐτῦ.	μϑ'.	Φύλλ. 403
Τῦ αὐτῦ.	νή. νϑ'.	Φύλλ. 405
Τῦ αὐτῦ.	ξβ'.	Φύλλ. 406
Τῦ αὐτῦ.	οζ'.	Φύλλ. 408
Γρηγορίυ Νύσσης.	γ'.	Φύλλ. 366

Ἐὰν γυνὴ λαϊκῦ μοιχαθῇ.

Συνόδυ Ἀγκύρ.	κ'.	Φύλλ. 34
Συνόδυ Νεοκαισ.	ή.	Φύλλ. 37

Περὶ φθορᾶς ἢ γαμε χήρας, ἢ τὶς λέγεται χήρα.

Βασιλείω.	ιή.	Φύλ. 392
Τῶ αὐτῶ.	κδ'.	Φύλ. 396

Περὶ τῶν ἐπὶ γάμῳ γυναῖκας ἁρπαζόντων, ἢ βιαζομένων, ἢ φθειρόντων παρθένους, ἢ περὶ σωιζόρων αὐτῶν.

Ἀποστολ.	ξζ'.	Φύλ. 12
Σωόδω Κγκύρ.	ια'.	Φύλ. 32
Τῆς αὐτῆς.	κέ.	Φύλ. 35
Σωόδω Χαλχηδ.	κζ'.	Φύλ. 97
Σωόδω ς'.	ϛγ'.	Φύλ. 305
Βασιλείω.	κβ'.	Φύλ. 395
Τῶ αὐτῶ.	λ'.	Φύλ. 399
Τῶ αὐτῶ.	λγ'.	Φύλ. 399
Τῶ αὐτῶ.	λή.	Φύλ. 400
Τῶ αὐτῶ.	νγ'.	Φύλ. 404

Περὶ τῶν παρὰ γνώμην τῶν οἰκείων γονέων, ἢ διαστῶν γαμετῶν.

Βασιλείω.	λή.	Φύλ. 400
Τῶ αὐτῶ.	μα'. μβ'.	Φύλ. 401

Περὶ

Περὶ τῶν πορνευόντων, ἢ αἱρεσιῶν τὰ τυπτόμενα, ἢ ποιούντων φθορία.

Σωόδω Ἀγκύρας.	κά.	Φύλ. 34
Σωόδω ς'.	ϛβ'.	Φύλ. 305
Βασιλείω.	β'.	Φύλ. 381
Τῶ αὐτῶ.	ή.	Φύλ. 384
Τῶ αὐτῶ.	νβ'.	Φύλ. 403

Περὶ τῶν βδελυσσομένων τὸν γάμον, ἢ πρέα, ἢ οἶνον.

Ἀποστολ.	να.	Φύλ. 10
Σωόδω Γάγγρας.	α'. β'.	Φύλ. 42
Τῆς αὐτῆς.	δ'.	Φύλ. 42
Τῆς αὐτῆς.	Θ'.	Φύλ. 43
Βασιλείω,	κή.	Φύλ. 398
Τῶ αὐτῶ.	πς'.	Φύλ. 412

Περὶ λαϊκῶν ἑαυτοὺς ἀκροτομιαζόντων.

Ἀποστόλων.	κβ'.	Φύλ. 4
Τῶν αὐτῶν.	κδ'.	Φύλ. 4
Σωόδω Νικαίας.	α'.	Φύλ. 19

Περὶ λαϊκῶν ἐθιόντων εἰδωλόθυτα, ἢ κρέα σὺν αἵματι, ἢ πνικτὰ, ἢ θηριάλωτα, ἢ θνησιμαῖα.

Ἀποστόλων.	ξγ'.	Φύλλ.	12
Συνόδου Γάγγρας.	β'.	Φύλλ.	42
Συνόδου ς'.	ξζ'.	Φύλλ.	296
Γρηγορίου τοῦ θαυματουργοῦ ἐκ τῆς Ἐπιστολῆς τῆς περὶ τῶν εἰδωλόθυτα φαγόντων.		Φύλλ.	437
Βασιλείου.	πά.	Φύλλ.	409

Περὶ λαοῦ ὑβρίζοντος βασιλέα.

Ἀποστόλων.	πδ'.	Φύλλ.	16

Περὶ ὀρθοδόξων λαμβανόντων ἀλογίας ἀπὸ αἱρετικῶν, ἢ Ἰουδαίων, ἢ σαββατιζόντων, ἢ συνηθούντων Ἰουδαίοις ἢγουν ὅτι οὐδεὶς τῷ Σαββάτῳ σχολάζειν, ἀλλὰ τὸ δυνατὸν τῷ Κυριακῷ, καὶ περὶ ἀλλογενῶν εἰς Μοναστήριον, ἢ Ἐκκλησίαις αἱρετικῶν.

Ἀποστόλων.	ξέ.	Φύλλ.	12
Τῶν αὐτῶν.	ός.	Φύλλ.	13
Συνόδου Λαοδικείας.	ϑ'.	Φύλλ.	60
Τῆς αὐτῆς.	κϑ'.	Φύλλ.	63

Τῆς

Τῆς αὐτῆς.	λβ'.	Φύλλ.	64
Τῆς αὐτῆς.	λδ'.	Φύλλ.	64
Τῆς αὐτῆς.	λζ'. λή. λϑ'.	Φύλλ.	64
Συνόδου Καρθαγ.	ξδ'.	Φύλλ.	170

Περὶ λαϊκῶν περωμένων μὴ εἶναι τοὺς κληρικοὺς τῶν μοναστηρίων, καὶ πτωχείων, καὶ μαρτυρίων ὑπὸ τὴν ἐξουσίαν τῶν Ἐπισκόπων.

Συνόδου Χαλκηδ.	ή.	Φύλλ.	90

Περὶ λαϊκῶν προσιθεμένων τοῖς ἀφορίζομένοις, ἢ ἀντεχίζουσι Πρεσβυτέροις, καὶ χωρὶς τῶν Ἐπισκόπων αὐτῶν θυσιαστήρια πηγνύντων.

Ἀποστόλ.	λά.	Φύλλ.	5

Περὶ ἐπιόρκων, καὶ σὺν ποίοις δεῖ τοὺς ὀμνύοντα μὴ ὀρκεῖν.

Βασιλείου.	ί.	Φύλλ.	387
Τοῦ αὐτοῦ.	ιζ'.	Φύλλ.	391
Τοῦ αὐτοῦ.	κϑ'.	Φύλλ.	398
Τοῦ αὐτοῦ.	ξδ'.	Φύλλ.	406
Τοῦ αὐτοῦ.	πβ'.	Φύλλ.	410

Περὶ τῆς ὁμνυόντων ὅρκους ἑλληνικούς.

Συνόδου ἕκτης.	μέ.	Φύλλ. 306
Βασιλείου.	πά.	Φύλλ. 406

Περὶ τῆς ἀποστόλων, καὶ θυτῶν, καὶ μάγων, καὶ ἐπαοιδῶν, καὶ ἀστρολόγων καὶ μαθηματικῶν, μάντεων, καὶ περιάπτων.

Ἀποστόλ.	ξβ'.	Φύλλ. 12
Συνόδου Νικαίας. ά.	ιά. ιβ'.	Φύλλ. 23
Συνόδου Ἀγκυρ.	γ'. δ'.	Φύλλ. 29
Τῆς αὐτῆς.	έ. ς'.	Φύλλ. 30
Τῆς αὐτῆς.	ή. ϑ'.	Φύλλ. 31
Τῆς αὐτῆς.	ιβ'.	Φύλλ. 32
Τῆς αὐτῆς.	κδ'.	Φύλλ. 35
Συνόδου Λαοδ.	λς'.	Φύλλ. 64
Πέξις Ἀλεξανδρείας.	ά. β'.	Φύλλ. 333
Τῶν αὐτῶν.	γ'. δ'.	Φύλλ. 335
Τῶν αὐτῶν.	έ. ς'.	Φύλλ. 336
Τῶν αὐτῶν.	ζ'. ή.	Φύλλ. 338
Τῶν αὐτῶν.	ϑ'. ι'.	Φύλλ. 339
Τῶν αὐτῶν.	ιά. ιβ'.	Φύλλ. 342
Τῶν αὐτῶν.	ιγ'. ιδ'.	Φύλλ. 345
Βασιλέως.	ζ'. ή.	Φύλλ. 384

Τῶν αὐτῶν.	μδ'.	Φύλλ. 401
Τῶν αὐτῶν.	μή.	Φύλλ. 402
Τῶν αὐτῶν.	νέ.	Φύλλ. 404
Τῶν αὐτῶν.	ξέ. ξς'.	Φύλλ. 406
Τῶν αὐτῶν.	οβ'. ογ'.	Φύλλ. 407
Τῶν αὐτῶν.	πά.	Φύλλ. 409
Τῶν αὐτῶν.	πγ'.	Φύλλ. 410
Γρηγορίου Νύσσης.	ὰ. β'.	Φύλλ. 361

Περὶ σκηνικῶν καὶ μίμων, καὶ τῆς ὁμοίων μετανοούντων.

Συνόδου Καρθα.	ξζ'.	Φύλλ. 172
Συνόδου ς'.	δ'.	Φύλλ. 289

Περὶ θεωρείων, καὶ παιγνίων.

Συνόδου Καρθαγ.	ιέ.	Φύλλ. 135
Τῆς αὐτῆς.	ξδ'. ξέ.	Φυλλ. 170
Συνόδου Ἕκτης.	νά. νβ'.	Φύλλ. 289
Τῆς αὐτῆς.	ξβ'.	Φύλλ. 293
Τῆς αὐτῆς.	ξέ.	Φύλλ. 296
Τῆς αὐτῆς.	οά.	Φύλλ. 298
Τῆς αὐτῆς.	ρ'.	Φύλλ. 309

Περὶ τοῦ μὴ εἰσιέναι γυναῖκα εἰς θυσιαστήριον, καὶ ὅτι μόνοις τοῖς ἱερατικοῖς ἔξεσι κοινωνεῖν τῷ θυσιαστηρίῳ.

Συνόδ. Λαοδ.	ιθ'.	Φύλλ. 62
Τῆς αὐτῆς.	μδ'.	Φύλλ. 65
Συνόδ. Ἕκτης.	ξθ'.	Φύλλ. 297

Περὶ τοῦ μὴ ποιεῖν ἀπὸ συμβολῆς συμπόσια.

Συνόδ. Λαοδικ.	νέ.	Φύλλ. 66

Περὶ κυβδλόντων, ἢ μεθυσκομένων.

Ἀποστόλων.	μβ'. μγ'.	Φύλλ. 9
Συνόδ. ς'.	νέ.	Φύλλ. 289

Περὶ δαιμονιζομένων.

Ἀποστολ.	οθ'.	Φύλλ. 15
Τιμοθέυ.	β'. γ'.	Φύλλ. 460
Τῦ αὐτῦ.	ιδ'. ιέ.	Φύλλ. 461

Περὶ κλεπτῶν, καὶ τυμβορύχων, καὶ λῃστῶν, καὶ Ἱεροσύλων.

Βασιλείυ.	ξά.	Φύλλ. 405
Τῦ αὐτῦ.	ξς'.	Φύλλ. 406
Γρηγορίυ Νύσης.	ζ'. ή. θ'.	Φύλλ. 374

Περὶ τοῦ μὴ βαλλίζειν ἢ ὀρχεῖσθαι εἰ γάμοις.

Συνόδ. Λαοδ.	νγ'.	Φύλλ. 66

Περὶ τοῦ μὴ συλλούεσθαι γυναιξὶν ἄνδρας.

Συνόδ. Λαοδ.	λ'.	Φύλλ. 63
Συνόδ. Ἕκτης.	οή.	Φύλλ. 300

Περὶ τῦ χλδαίζοντος τὰς ἀθλητῆς.

Ἀποστόλων.	νζ'.	Φύλλ. 11

Περὶ μὴ ἀκροωμένων τὰς γραφὰς καὶ μέχρι τέλους μὴ προσκαρτερούντων, ἢ μὴ κοινωνούντων.

Ἀποστόλ.	θ'.	Φύλλ.	2
Συνόδ Ἀντιοχείας.	β'.	Φύλλ.	49

Περὶ τῶν ἰδίᾳ ἐκκλησιαζόντων.

Συνόδ Γάγγρα.	ς'.	Φύλλ.	42
Συνόδ ς'.	λά.	Φύλλ.	277
Τῆς αὐτῆς.	νθ'.	Φύλλ.	192

Περὶ τῶ ἐπιθυμήσαντος συγκαθδδῆσαι γυναικὶ καὶ μὴ πράξαντος.

Συνόδ Νεοκαισ.	δ'.	Φύλλ.	37

Περὶ μὴ νηστεύοντος τὴν τεσσαρακοστὴν καὶ τετράδα, καὶ Παρασκευήν.

Ἀποστόλων.	ξθ'.	Φύλλ.	13

Περὶ λαϊκῶ ἀφορισθέντος, καὶ δεχθέντος παρ' ἑτέρω παρὰ γνώμην τῶ ἀφορίσαντος.

Ἀποστολ.	ιβ'. ιγ'.	Φύλλ.	3
Συνόδ Ἀντιοχείας.	ς'.	Φύλλ.	50

Περὶ τῶν ἐν Κυριακῇ, ἢ Σαββάτῳ νηστευόντων.

Ἀποστόλων.	ξδ'.	Φύλλ.	12
Συνόδ Γαγγρῶν.	ιή.	Φύλλ.	44
Συνόδ ς'.	νέ. νς'.	Φύλλ.	291

Περὶ τῶν διδασκόντων τὸν οἶκον τῶ Θεῶ, καὶ τὰς σωάξεις δικαφρονήτας.

Συνόδ Γαγγρῶν.	έ.	Φύλλ.	42
Τῆς αὐτῆς.	κ'.	Φύλλ.	44

Περὶ λαϊκῶν πειρωμένων ἀθετεῖν τὰ τῆς ἐν Ἐφέσῳ Συνόδ.

Συνόδ Ἐφεσ.	ς'.	Φύλλ.	80

Περὶ τῶν ἀφαιρεμένων τῆς Ἐκκλησίας κηρὸν ἢ ἔλαιον.

Ἀποστόλων.	οβ'.	Φύλλ.	13

Περὶ λαϊκῶν ἀκοινωνήτων γινομένων.

Θεοφίλου.	ιγ'.	Φύλλ.	464

Περὶ τῶν μὴ διδάσκειν λαϊκούς.

Συνόδου ς'.	ξδ'.	Φύλλ.	295

Περὶ πλεονεξίας.

Γρηγορίου Νύσσης.	έ.	Φύλλ.	272

Περὶ ἀλογλομένων.

Συνόδου Ἀγγύρας.	ιε'. ιζ'.	Φύλλ.	33
Βασιλείου.	ξγ'.	Φύλλ.	406
Γρηγορίου Νύσσης.	δ'.	Φύλλ.	367

Περὶ φωνέων, καὶ λήξεων.

Ἀποστόλων.	ξς'.	Φύλλ.	1

Συ-

Συνόδου Ἀγκύρ.	κβ'. κγ'.	Φύλλ.	34
Τῆς αὐτῆς.	κέ.	Φύλλ.	35
Βασιλείου.	ζ'. ή.	Φύλλ.	384
Τοῦ αὐτοῦ.	ιά.	Φύλλ.	389
Τοῦ αὐτοῦ.	ιγ'.	Φύλλ.	389
Τοῦ αὐτοῦ.	ιέ.	Φύλλ.	399
Τοῦ αὐτοῦ.	μγ'.	Φύλλ.	401
Τοῦ αὐτοῦ.	νβ'.	Φύλλ.	403
Τοῦ αὐτοῦ.	ρλή.	Φύλλ.	404
Τοῦ αὐτοῦ.	νς'. νζ'.	Φύλλ.	404
Γρηγορίου Νύσσης.	έ.	Φύλλ.	369

Περὶ τοῦ τοὺς ἐπιτίμιον ἀκοινωνησίας ἔχοντας ὀφειλειν κοινωνεῖν μέλλοντας τελευτᾶν, καὶ τί γίνεται ἐὰν διὰ τοῦτο μεταλαβόντες μὴ ἀποθάνωσι.

Συνόδου Νικαίας. ά.	ιγ'.	Φύλλ.	24
Γρηγορίου Νύσσης.	έ.	Φύλλ.	369

Περὶ τοῦ ὀνειραθέντος ἢ ἀπὸ κοίτης τῆς ἰδίας γαμετῆς ὅπως καὶ θέλοντος κοινωνῆσαι, καὶ ποίας ἡμέρας δεῖ τῆς πρὸς ἀλλήλους μίξεως διὰ τοῦτο ἀπέχεσθαι.

Διονυ. ἐπ τ^δ πρὸς Βασι. Ἐπι. γ'. δ'.		Φύλλ.	436
Τιμοθέου.	έ.	Φύλλ.	460

Τῆ

Τῦ αὐτῦ. ιβ. ιγ. Φύλ. 461

Πῶς γίνεται προσφορὰ ὑπὲρ τῦ ἑαυτὸν ἀνελόντος.

Τιμοθέω. ιδ'. Φύλ. 461

Περὶ τοῦ ἔχοντος γαμετὴν δαιμονιζομένην, ἢ διὰ τοῦτο θέλοντος ἄλλην λαβεῖν.

Τιμοθέω. ιέ. Φύλ. 461

ΤΕΛΟΣ. Τῦ Πίνακος διὰ χειρὸς Θεοδοσίου Λάζαρι.

ΠΕΡΙ ΤΩΝ ΚΑΝΟΝΩΝ ΤΩΝ ΑΓΙΩΝ ΑΠΟΣΤΟΛΩΝ.

Ἐπίσκοπος χειροτονείσθω ὑπὸ Ἐπισκόπων δύο ἢ τριῶν. α'.

Πρεσβύτερος ὑπὸ μόνου Ἐπισκόπου χειροτονείσθω, καὶ Διάκονος, καὶ οἱ λοιποὶ κληρικοί. β'.

Εἴ τις Ἐπίσκοπος ἢ Πρεσβύτερος παρὰ τὸν τῦ Κυρίου θέσιν τὸν ἐπὶ τῇ θυσίᾳ, προσενέγκῃ ἕτερά τινα ἐπὶ τὸ θυσιαστήριον, ἢ μέλι, ἢ γάλα, ἢ ἀντὶ οἴνου σίκερα ἐπιτιθῦτα, ἢ ὄρνεις, ἢ ζῶά τινα, ἢ ὄσπρια, παρὰ τὸν θέσμον, καθαιρείσθω· πλὴν νέων χλωρῶν, ἢ σταφυλῆς, τῷ καιρῷ τῷ δέοντι. μὴ ἔξον δὲ ἔσω, προσάγεσθαί τι ἕτερον πρὸς τὸ θυσιαστήριον, ἢ ἔλαιον εἰς τὴν λυχνίαν, καὶ θυμίαμα, τῷ καιρῷ τῆς ἁγίας προσφορᾶς. γ'.

Ἡ ἄλλη πᾶσα ὀπώρα εἰς οἶκον ἀποστελλέσθω ἀ- δ'.

παρχὴ τῷ Ἐπισκόπῳ καὶ τοῖς Πρεσβυτέροις, ἀλλὰ μὴ πρὸς τὸ θυσιαστήριον· δῆλον δέ, ὡς ὁ Ἐπίσκοπος καὶ οἱ Πρεσβύτεροι ἐπιμελίζεσι τοῖς Διακόνοις, καὶ τοῖς λοιποῖς κληρικοῖς.

ε'. Ἐπίσκοπος ἢ Πρεσβύτερος ἢ Διάκονος, τὴν ἑαυτοῦ γυναῖκα μὴ ἐκβαλλέτω προφάσει εὐλαβείας. ἐὰν δὲ ἐκβαλῇ, ἀφοριζέσθω· ἐπιμείνων δὲ, καθαιρείσθω.

ς'. Ἐπίσκοπος ἢ Πρεσβύτερος ἢ Διάκονος, κοσμικὰς φροντίδας μὴ ἀναλαμβανέτω. εἰ δὲ μή, καθαιρείσθω.

ζ'. Εἴ τις Ἐπίσκοπος ἢ Πρεσβύτερος ἢ Διάκονος, τὴν Ἁγίαν τοῦ Πάσχα ἡμέραν πρὸ τῆς ἐαρινῆς ἰσημερίας μετὰ Ἰουδαίων ἐπιτελέσει, καθαιρείσθω.

η'. Εἴ τις Ἐπίσκοπος ἢ Πρεσβύτερος ἢ Διάκονος ἢ ἐν τῷ Καταλόγῳ τῷ ἱερατικῷ, προσφορᾶς γενομένης, μὴ μεταλάβοι, τὴν αἰτίαν εἰπάτω· καὶ ἐὰν ᾖ εὔλογος, συγγνώμης τυγχανέτω· εἰ δὲ μὴ λέγῃ, ἀφοριζέσθω, ὡς αἴτιος βλάβης γενόμενος τῷ λαῷ, καὶ ὑπόνοιαν ἐμποιήσας τοῦ προσενέγκαντος.

θ'. Πάντας τοὺς εἰσιόντας πιστοὺς, καὶ ἐν γραφαῖς ἀνακόντας, μὴ παραμένοντας δὲ τῇ προσευχῇ καὶ τῇ ἁγίᾳ μεταλήψει, ὡς ἀταξίας ἐμποιοῦντας τῇ Ἐκκλησίᾳ ἀφορίζεσθαι χρή.

ι'. Εἴ τις ἀκοινωνήτῳ, κἂν ἐν οἴκῳ, συνδέξηται, ἅπαξ ἀφοριζέσθω.

Εἴ τις καθηρημένῳ κληρικὸς ὢν, κληρικῷ συνδέξηται, καθαιρείσθω καὶ αὐτός. ια'.

Εἴ τις κληρικὸς, ἢ λαϊκὸς ἀφορισμένος, ἤτοι ἄδεκτος, ἀπελθὼν εἰς ἑτέραν πόλιν, δεχθῇ ἀδιαγραμμάτως συστατικῶν, ἀφοριζέσθω, καὶ ὁ δεξάμενος καὶ ὁ δεχθείς. ιβ'.

Εἰ δὲ ἀφωρισμένος εἴη, ἐπιτενέσθω αὐτῷ ὁ ἀφορισμὸς, ὡς ψυχαμένῳ καὶ ἀπασι τὴν Ἐκκλησίαν τοῦ Θεοῦ. ιγ'.

Ἐπίσκοπον μὴ δεῖναι καταλείψαντα τὴν ἑαυτοῦ παροικίαν, ἑτέραν ἐπιποθῆν, κἂν ὑπὸ πλειόνων ἀναγκάζηται· εἰ μήτις εὔλογος αἰτία ᾖ, ἡ καὶ βιαζομένη αὐτὸν ποιεῖν, ὡς πλέον τι κέρδος διωκομένῃ αὐτῷ τοῖς ἐκεῖσε λόγῳ εὐσεβείας συμβάλλεσθαι· καὶ τοῦτο δὲ, οὐκ ἀφ' ἑαυτοῦ, ἀλλὰ κρίσει πολλῶν Ἐπισκόπων, καὶ παρακλήσει μεγίστῃ. ιδ'.

Εἴ τις Πρεσβύτερος ἢ Διάκονος, ἢ ὅλως τοῦ Καταλόγου τοῦ κληρικοῦ, ἀπολείψας τὴν ἑαυτοῦ παροικίαν, εἰς ἑτέραν ἀπέλθοι, καὶ παντελῶς μεταστὰς διατρίβοι ἐν ἄλλῃ παροικίᾳ παρὰ γνώμην τοῦ ἰδίου Ἐπισκόπου, τοῦτον κελεύομεν μηκέτι λειτουργεῖν· εἰ μάλιστα προσκαλοῖτο αὐτὸν τοῦ Ἐπισκόπου αὐτοῦ, ἐπανελθεῖν οὐχ ὑπήκουσεν, ἐπιμένων τῇ ἀταξίᾳ. ὡς λαϊκὸς μέντοι, ἐκεῖσε κοινωνείτω. ιε'.

Εἰ δὲ ὁ Ἐπίσκοπος παρ' ᾧ τυγχάνουσιν, παρ' ὑδὲν λογισάμενος τὴν κατ' αὐτῶν δεικθεῖσαν ἀργίαν, δέ-

ξηται αὐτὸς ὡς κληρικὸς, ἀφοριζέσθω, ὡς διάσκαλος ἀταξίας.

ιζ'. Ὁ δυσὶ γάμοις συμπλακεὶς μετὰ τὸ βάπτισμα, ἢ παλλακὴν κτησάμενος, οὐ δύναται εἶναι Ἐπίσκοπος ἢ Πρεσβύτερος ἢ Διάκονος, ἢ ὅλως τῷ Καταλόγῳ τῷ ἱερατικῷ.

ιη'. Ὁ χῆραν λαβὼν, ἢ ἐκβεβλημένην, ἢ ἑταῖραν, ἢ οἰκέτιν, ἢ δμῶ ἐπὶ συνωνῆς, οὐ δύναται εἶναι Ἐπίσκοπος, ἢ Διάκονος, ἢ Πρεσβύτερος, ἢ ὅλως τῷ Καταλόγῳ τῷ ἱερατικῷ.

ιθ'. Ὁ δύο ἀδελφὰς ἀγαγόμενος, ἢ ἀδελφιδῆν, οὐ δύναται εἶναι κληρικός.

κ'. Κληρικὸς, ἐγγύας δίδὰς, καθαιρείσθω.

κά. Εὐνοῦχος, εἰ μὲν ἐξ ἐπηρείας ἀνθρώπων ἐγένετό τις, ἢ ἐν διωγμῷ ἀφηρέθη τὰ ἀνδρῶν, ἢ οὕτως ἔφυ, καὶ ἔστιν ἄξιος, γινέσθω Ἐπίσκοπος.

κβ'. Ὁ ἀκρωτηριάσας ἑαυτὸν, μὴ γινέσθω κληρικός. αὐτοφονευτὴς γάρ ἐστιν ἑαυτοῦ, καὶ τῆς τοῦ Θεοῦ δημιουργίας ἐχθρός.

κγ'. Εἴ τις κληρικὸς ὤν, ἑαυτὸν ἀκρωτηριάσει, καθαιρείσθω· φονεὺς γάρ ἐστιν ἑαυτοῦ.

κδ'. Λαϊκὸς ἑαυτὸν ἀκρωτηριάσας, ἀφοριζέσθω ἔτη τρία. Ἐπίβουλος γάρ ἐστιν τῆς ἑαυτοῦ ζωῆς.

κε'. Ἐπίσκοπος ἢ Πρεσβύτερος ἢ Διάκονος ἐπὶ πορνείᾳ, ἢ ἐπιορκίᾳ, ἢ κλοπῇ ἁλώς, καθαιρείσθω, καὶ μὴ ἀφοριζέσθω· λέγει γὰρ ἡ γραφὴ, οὐ ἐκδικήσεις δὶς

δὶς ἐπὶ τὸ αὐτό. ὡσαύτως δὲ, καὶ οἱ λοιποὶ κληρικοί.

Τῶν εἰς κλῆρον προσελθόντων ἀγάμων, κελεύομεν βουλομένους γαμεῖν, ἀναγινώσκειν καὶ ψάλτας μόνον. κς'.

Ἐπίσκοπον, ἢ Πρεσβύτερον, ἢ Διάκονον, τύπτοντα πιστοὺς ἁμαρτάνοντας, ἢ ἀπίστους ἀδικήσαντας, καὶ διὰ τοιούτων φοβεῖν ἐθέλοντα, καθαιρεῖσθαι προσήκομεν. οὐδαμοῦ γὰρ ὁ Κύριος τοῦτο ἡμᾶς ἐδίδαξεν. πάντιον δὲ, αὐτὸς τυπτόμενος οὐκ ἀντέτυπτεν. λοιδορούμενος, οὐκ ἀντελοιδόρει· πάσχων, οὐκ ἠπείλει. κζ'.

Εἴ τις Ἐπίσκοπος ἢ Πρεσβύτερος ἢ Διάκονος καθαιρεθεὶς δικαίως ἐπὶ ἐγκλήμασι φανεροῖς, τολμήσειεν ἅψασθαι τῆς ποτὲ ἐγχειρισθείσης αὐτῷ λειτουργίας, οὗτος παντάπασιν ἐκκοπτέσθω τῆς Ἐκκλησίας κη'.

Εἴ τις Ἐπίσκοπος διὰ χρημάτων τῆς ἀξίας ταύτης ἐγκρατὴς γένηται, ἢ Πρεσβύτερος, ἢ Διάκονος, καθαιρείσθω, καὶ αὐτὸς καὶ ὁ χειροτονήσας· καὶ ἐκκοπτέσθω παντάπασι καὶ τῆς κοινωνίας, ὡς Σίμων ὁ Μάγος ὑπ' ἐμοῦ Πέτρου.

Εἴ τις Ἐπίσκοπος κοσμικοῖς ἄρχουσι χρησάμενος, δι' αὐτῶν ἐγκρατὴς Ἐκκλησίας γένηται, καθαιρείσθω καὶ ἀφοριζέσθω· καὶ οἱ κοινωνοῦντες αὐτῷ, πάντες. λ'.

Εἴ τις πρεσβύτερος καταφρονήσας τοῦ ἰδίου Ἐπισκόπου, χωρὶς συναγάγῃ, καὶ θυσιαστήριον ἕτερον πήξῃ, μηδὲν κατεγνακὼς τοῦ Ἐπισκόπου ἐν δόκησει λα'.

καθαιρείσθω, ὡς φίλαρχος· τύραννος γάρ ἐστιν. ὡσαύτως δὲ καὶ οἱ λοιποὶ κληρικοί, καὶ ὅσοι αὖ αὐτῷ προσῶνται· οἱ δὲ Λαϊκοὶ, ἀφορίζέσθωσαν. ταῦτα δέ, μετὰ μίαν καὶ δευτέραν καὶ τρίτην παράκλησιν τοῦ Ἐπισκόπου, γινέσθω.

λβ'. Εἴ τις Πρεσβύτερος ἢ Διάκονος ὑπὸ Ἐπισκόπου γένηται ἐν ἀφορισμῷ, τὸν μὴ δεῖναι παρ' ἑτέρου δεχθῆναι, ἀλλ' ἢ παρὰ τοῦ ἀφορίσαντος αὐτὸν, εἰ μὴ αὖ τύχοι συγκυρίαν πεποιήσηται ὁ ἀφορίσας αὐτὸν Ἐπίσκοπος.

λγ'. Μηδένα τῶν ξένων Ἐπισκόπων, ἢ Πρεσβυτέρων, ἢ Διακόνων, αὐθαδως συστατικῶν προσδέχεσθαι· καὶ ἐπιφερομένων δὲ αὐτῶν, ἀνακρινέσθωσαν, καὶ εἰ μὲν ὦσιν κήρυκες τῆς εὐσεβείας, προσδεχέσθωσαν· εἰ δὲ μή γε, τὰ πρὸς χρείαν αὐτοῖς ἐπιχορηγήσαντες, εἰς κοινωνίαν αὐτῶν μὴ προσδέχεσθε. πολλοὶ γὰρ τῇ συκοφαντίᾳ γίνεται.

λδ'. Τοὺς Ἐπισκόπους ἑκάστου ἔθνους εἰδέναι χρὴ τὸν ἐν αὐτοῖς πρῶτον, καὶ ἡγεῖσθαι αὐτὸν ὡς κεφαλὴν, καὶ μηδέν τι πράττειν περιττὸν αὐθαδῶς τῆς ἐκείνου γνώμης. ἐκεῖνα δὲ μόνα πράττειν ἕκαστον, ὅσα τῇ αὐτῷ παροικίᾳ ἐπιβάλλει, καὶ ταῖς ὑπ' αὐτὸν χώραις· ἀλλὰ μὴ δὲ ἐκεῖνος αὐθαδῶς τῆς πάντων γνώμης ποιείτω τί. οὕτω γὰρ ὁμόνοια ἔσται, καὶ δοξασθήσεται ὁ Θεὸς διὰ Κυρίου ἐν Ἁγίῳ Πνεύματι, ὁ Πατὴρ, καὶ ὁ Υἱὸς, καὶ τὸ ἅγιον Πνεῦμα.

λέ. Ἐπίσκοπον μὴ τολμᾶν ἔξω τῆς ἑαυτοῦ ὅρων χειροτονίας ποιεῖσθαι, εἰς τὰς μὴ ὑποκειμένας αὐτῷ πόλεις καὶ χώρας. εἰ δὲ ἐλεγχθείη τοῦτο πεποιηκὼς παρὰ τοῦ τῆς κατεχόντων τὰς πόλεις ἐκείνας ἢ τὰ χώρας γνώμου, καθαιρείσθω καὶ αὐτὸς καὶ οὓς ἐχειροτόνησεν.

λς'. Εἴ τις χειροτονηθεὶς Ἐπίσκοπος, μὴ καταδέχοιτο τὴν λειτουργίαν καὶ τοῦ φροντίδα τοῦ λαοῦ τοῦ ἐγχειρισθεῖσαν αὐτῷ, τὸν ἀφωρισμένον τυγχάνειν, ἕως ἂν καταδέξηται· ὡσαύτως καὶ Πρεσβύτερος καὶ Διάκονος. εἰ δὲ ἀπελθὼν, μὴ δεχθείη ὑπὸ παρὰ τοῦ ἑαυτοῦ γνώμου, ἀλλὰ παρὰ τοῦ τοῦ λαοῦ μοχθηρίαν, αὐτὸς μὲν ἔστω Ἐπίσκοπος, ὁ δὲ κλῆρος τῆς πόλεως ἀφοριζέσθω· ὅτι τοιοῦτος λαὸς ἀνυποτάκτους παιδεύεται ἂν ἐγένοντο.

λζ'. Δεύτερον τοῦ ἔτους συνόδους γινέσθω τῶν Ἐπισκόπων, καὶ ἀναμετρείτωσαν ἀλλήλοις τὰ δόγματα τῆς εὐσεβείας, καὶ τὰς ἐμπιπτούσας Ἐκκλησιαστικὰς ἀντιλογίας διαλυέτωσαν. ἅπαξ μὲν, τῇ τεσσαρτῃ ἑβδομάδι τῆς πεντηκοστῆς· δεύτερον δὲ, ὑπερβερεταίᾳ δωδεκάτῃ.

λή. Πάντων τῶν Ἐκκλησιαστικῶν πραγμάτων ὁ Ἐπίσκοπος ἐχέτω τὴν φροντίδα, καὶ διοικείτω αὐτὰ ὡς Θεοῦ ἐφορῶντος. μὴ ἐξεῖναι δὲ αὐτῷ σφετερίζεσθαί τι ἐξ αὐτῶν, ἢ συγγενέσιν ἰδίοις τὰ τοῦ Θεοῦ χαρίζεσθαι. εἰ δὲ πένητες ὦσιν, ἐπιχορηγείτω ὡς

πείσιν, ἀλλὰ μὴ προφάσει τινῶν τὰ τῆς Ἐκκλησίας ἀπεμπολείτω.

λϑ'. Οἱ Πρεσβύτεροι καὶ οἱ Διάκονοι ἄνευ γνώμης τοῦ Ἐπισκόπου μηδὲν ἐπιτελείτωσαν· αὐτὸς γάρ ἐστιν ὁ πεπιστευμένος τὸν λαὸν τοῦ Κυρίου, καὶ ὑπὲρ τῶν ψυχῶν αὐτῶν λόγον ἀπαιτηθησόμενος.

μ'. Ἔστω φανερὰ τὰ ἴδια τοῦ Ἐπισκόπου πράγματα (εἴγε καὶ ἴδια ἔχει) καὶ φανερὰ τὰ κυριακά. ἵν' ἐξουσίαν ἔχῃ τῶν ἰδίων τελευτῶν ὁ Ἐπίσκοπος, οἷς βούλεται, καὶ ὡς βούλεται, καταλεῖψαι. καὶ μὴ προφάσει τῶν Ἐκκλησιαστικῶν πραγμάτων διαπίπτειν τὰ τοῦ Ἐπισκόπου, ἐν' ὅτε γυναῖκα καὶ παῖδας κεκτημένου, ἢ συγγενεῖς, ἢ οἰκέτας· δίκαιον δὲ τοῦτο παρὰ Θεῷ καὶ ἀνθρώποις, τὸ, μήτε τῶν Ἐκκλησίαν ζημίαν τινὰ ὑπομένειν ἀγνοίᾳ τῶν τοῦ Ἐπισκόπου πραγμάτων, μήτε τὸν Ἐπίσκοπον ἢ τινὰς αὐτοῦ συγγενεῖς προφάσει τῆς Ἐκκλησίας ἁμαρτάνειν, ἢ καὶ εἰς πράγματα ἐμπίπτειν τινὰς αὐτῷ διαφέροντας, καὶ τὸν αὐτοῦ θάνατον δυσφημίᾳ περιβάλλεσθαι.

μά. Προσάτομεν τὸν Ἐπίσκοπον ἐξουσίαν ἔχειν τῶν τῆς Ἐκκλησίας πραγμάτων· εἰ γὰρ τὰς τιμίας τῶν ἀνθρώπων ψυχὰς αὐτῷ πιστευτέον, πολλῷ ἂν δέοι περὶ τῶν χρημάτων ἐντέλλεσθαι, ὥστε καὶ τινὶ αὐτοῦ ἐξουσίαν πᾶσαν διοικεῖσθαι τοῖς δεομένοις διὰ τῶν Πρεσβυτέρων καὶ Διακόνων, καὶ ἐπιχορηγεῖσθαι μετὰ φόβου Θεοῦ καὶ πάσης ἐπιμελείας· μεταλαμβάνειν δὲ καὶ

αὐτὸν τῶν δεόντων (εἴ γε δέοιτο) εἰς τὰς ἀναγκαίας αὐτοῦ χρείας καὶ τῶν ἐπιξενωμένων ἀδελφῶν, ὡς καὶ μηδενὰ τρόπον αὐτὸν ὑστερῆσθαι. ὁ γὰρ νόμος τοῦ Θεοῦ διετάξατο, τοὺς τῷ θυσιαστηρίῳ προσεδρεύοντας ἐκ τοῦ θυσιαστηρίου τρέφεσθαι. ἐπεὶπερ οὐδὲ στρατιώτης ποτὲ ἰδίοις ὀψωνίοις ὅπλα κατὰ πολεμίων ἐπιφέρεται.

μβ'. Ἐπίσκοπος ἢ Πρεσβύτερος ἢ Διάκονος, κύβοις χολάζων καὶ μέθαις, ἢ παυσάσθω ἢ καθαιρείσθω.

μγ'. Ὑποδιάκονος ἢ Ἀναγνώστης ἢ Ψάλτης, τὰ ὅμοια ποιῶν, παυσάσθω ἢ ἀφοριζέσθω· ὡσαύτως καὶ Λαϊκοί.

μδ'. Ἐπίσκοπος ἢ Πρεσβύτερος ἢ Διάκονος, τόκους ἀπαιτῶν διανεζομένους, ἢ παυσάσθω ἢ καθαιρείσθω.

με'. Ἐπίσκοπος ἢ Πρεσβύτερος ἢ Διάκονος αἱρετικοῖς συνδεξάμενος, μόνον ἀφοριζέσθω. εἰ δὲ ἐπέτρεψεν αὐτοῖς ὡς κληρικοῖς ἐνεργῆσαί τι, καθαιρείσθω.

μς'. Ἐπίσκοπον ἢ Πρεσβύτερον, αἱρετικῶν δεξαμένους βάπτισμα, ἢ θυσίαν, καθαιρεῖσθαι προσήκομεν. τίς γὰρ συμφώνησις Χριστῷ πρὸς βελίαρ; ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου;

μζ'. Ἐπίσκοπος ἢ Πρεσβύτερος τὸν καθ' ἀλήθειαν ἔχοντα βάπτισμα, ἐὰν ἀνωθεν βαπτίσῃ, ἢ τὸν μεμολυσμένον παρὰ τῶν ἀσεβῶν, ἐὰν μὴ βαπτίσῃ, καθαιρείσθω, ὡς γελῶν τὸν σταυρὸν καὶ τὸν τοῦ Κυρίου θάνατον, καὶ μὴ διακρίνων ἱερέας ψευδιερέων.

μη'. Εἴ τις Λαϊκὸς τινὰ ἑαυτοῦ γυναῖκα ἐμβάλλων, ἐπὶ-

ραν λάβοι, ἢ παρὰ ἄλλου ἀπολελυμένην, ἀφορι-
ζέσθω.

μθ'. Εἴ τις Ἐπίσκοπος ἢ Πρεσβύτερος μὴ τὴν τοῦ Κυ-
ρίου διάταξιν μὴ βαπτίσῃ εἰς Πατέρα καὶ Υἱὸν καὶ Ἅ-
γιον Πνεῦμα· ἀλλὰ εἰς τρεῖς ἀνάρχους, ἢ εἰς τρεῖς
υἱούς, ἢ εἰς τρεῖς παρακλήτους, καθαιρείσθω.

ν'. Εἴ τις Ἐπίσκοπος, ἢ Πρεσβύτερος μὴ τελεία βα-
πτίσματα μιᾶς μυήσεως ἐπιτελέσῃ, ἀλλὰ τὸ βά-
πτισμα τὸ εἰς τὸν θάνατον τοῦ Κυρίου διδόμενον, κα-
θαιρείσθω. ὁ γὰρ εἶπεν ὁ Κύριος, εἰς τὸν θάνατόν μου
βαπτίσατε· ἀλλὰ πορευθέντες μαθητεύσατε πάντα
τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς, εἰς τὸ ὄνομα τοῦ Πα-
τρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος.

να'. Εἴ τις Ἐπίσκοπος ἢ Πρεσβύτερος ἢ Διάκονος, ἢ
ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ, γάμου καὶ κρεῶν καὶ οἴ-
νου, ὑπὸ δὶ ἄσκησιν, ἀλλὰ διὰ βδελυρίαν ἀπέχεται,
ἐπιλαθόμενος ὅτι πάντα καλὰ λίαν, καὶ ὅτι ἄρσεν
καὶ θῆλυ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, ἀλλὰ βλασ-
φημῶν διαβάλλει τὴν δημιουργίαν· ἢ διορθούσθω ἢ
καθαιρείσθω, καὶ τῆς Ἐκκλησίας ἀποβαλλέσθω. ὡσαύ-
τως καὶ Λαϊκός.

νβ'. Εἴ τις Ἐπίσκοπος ἢ Πρεσβύτερος, τὸν ἐπιστρέ-
φοντα ἀπὸ ἁμαρτίας οὐ προσδέχεται, ἀλλ' ἀποβάλλε-
ται, καθαιρείσθω. ὅτι λυπεῖ Χριστὸν, τὸν εἰπόντα,
χαρὰ γίνεται ἐν οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετα-
νοοῦντι.

νγ'. Εἴ

νγ'. Εἴ τις Ἐπίσκοπος ἢ Πρεσβύτερος ἢ Διάκονος, ἐν ταῖς ἡμέραις τῆς ἑορτῶν, οὐ μεταλαμβάνει κρεῶν καὶ οἴνου, βδελυσσόμενος καὶ οὐ δι' ἄσκησιν, καθαιρείσθω, ὡς κεκαυστηριασμένος τὴν ἰδίαν συνείδησιν, καὶ αἴτιος σκανδάλου πολλοῖς γινόμενος.

νδ'. Εἴ τις κληρικὸς ἐν καπηλείῳ φωραθείη ἐσθίων, ἀφοριζέσθω. πάρεξ τοῦ ἐν πανδοχείῳ ἐν ὁδῷ, δι' ἀνάγκην καταλύοντος.

νε'. Εἴ τις κληρικὸς ὑβρίσει τὸν Ἐπίσκοπον, καθαιρείσθω. ἄρχοντα γὰρ τοῦ λαοῦ σου, οὐκ ἐρεῖς κακῶς.

νς'. Εἴ τις κληρικὸς ὑβρίσει Πρεσβύτερον ἢ Διάκονον, ἀφοριζέσθω.

νζ'. Εἴ τις κληρικὸς χωλὸν, ἢ κωφὸν, ἢ τυφλὸν, ἢ τὰς βάσεις πεπληγμένον χλευάσει, ἀφοριζέσθω. ὡσαύτως καὶ Λαϊκός.

νη'. Ἐπίσκοπος ἢ Πρεσβύτερος ἀμελῶν τοῦ κλήρου ἢ τοῦ λαοῦ, καὶ μὴ παιδεύων αὐτοὺς τὴν εὐσέβειαν, ἀφοριζέσθω. ἐπιμενέων δὲ τῇ ἀμελείᾳ καὶ ῥαθυμίᾳ, καθαιρείσθω.

νθ'. Εἴ τις Ἐπίσκοπος ἢ Πρεσβύτερος, τινὸς τῶν κληρικῶν ἐνδεὴς ὄντος, μὴ ἐπιχορηγεῖ τὰ δέοντα, ἀφοριζέσθω· ἐπιμενέων δὲ, καθαιρείσθω, ὡς φονεύσας τὸν ἀδελφὸν αὐτοῦ.

ξ'. Εἴ τις τὰ ψευδεπίγραφα τῶν ἀσεβῶν βιβλία, ὡς Ἅγια, ἐπὶ τῆς Ἐκκλησίας δημοσιεύοι, ἐπὶ λοιμῷ τοῦ λαοῦ καὶ τοῦ κλήρου, καθαιρείσθω.

ξά. Εἴ

ξά. Εἴ τις κατηγορία γενήται κῆ πίστει, πορείας ἢ μοιχείας, ἢ ἄλλης τινὸς ἀπηγορευμένης πράξεως, κὴ ἐλεγχθείη, εἰς κλῆρον μὴ προαγέσθω.

ξβ. Εἴ τις κληρικὸς διὰ φόβον ἀνθρώπινον, Ἰουδαίου, ἢ Ἕλληνος ἢ αἱρετικοῦ, ἀρνήσηται, εἰ μὲν τὸ ὄνομα τοῦ Χριστοῦ, ἀποβαλλέσθω· εἰ δὲ τὸ ὄνομα τοῦ κληρικοῦ, καθαιρείσθω. μετανοήσας δὲ, ὡς Λαϊκὸς δεχθήτω.

ξγ. Εἴ τις Ἐπίσκοπος ἢ Πρεσβύτερος ἢ Διάκονος, ἢ ὅλως τῶν καταλόγου τῶν ἱερατικῶν, φάγῃ κρέα σὺν αἵματι ψυχῆς αὐτοῦ, ἢ θηριάλωτον, ἢ θνησιμαῖον, καθαιρείσθω· τοῦτο γὰρ ὁ νόμος ἀπεῖπεν. εἰ δὲ Λαϊκὸς εἴη, ἀφοριζέσθω.

ξδ. Εἴ τις κληρικὸς ἁρπαγῇ τῶν Κυριακῶν ἡμέρων νηστίμων, ἢ τὸ Σάββατον, πλὴν τοῦ ἑνὸς μόνου, καθαιρείσθω. εἰ δὲ Λαϊκὸς, ἀφοριζέσθω.

ξέ. Εἴ τις κληρικὸς ἢ Λαϊκὸς εἰσέλθοι εἰς συναγωγὴν Ἰουδαίων ἢ αἱρετικῶν προσεύξασθαι, καθαιρείσθω κὴ ἀφοριζέσθω.

ξς. Εἴ τις κληρικὸς σὺν μάχῃ τινὰ ῥήσας, κὴ ἀπὸ τοῦ ἑνὸς ῥήσματος ἀποκτείνας, καθαιρείσθω, διὰ τὴν προπέτειαν αὐτοῦ· ἐὰν δὲ Λαϊκὸς ᾖ, ἀφοριζέσθω.

ξζ. Εἴ τις παρθένον ἀμνήστευτον βιασάμενος ἔχοι, ἀφοριζέσθω· μὴ ἐξεῖναι δὲ αὐτῷ ἑτέραν λαμβάνειν, ἀλλ' ἐκείνην κατέχειν, ἣν ἁρπάσατο, κἂν πενιχρὰ τυγχάνῃ.

ξή. Εἴ τις Ἐπίσκοπος ἢ Πρεσβύτερος ἢ Διάκονος

διότε-

δήτερον χειροτονίαν δέξηται παράτινος, καθαιρείσθω ὁ αὐτὸς καὶ ὁ χειροτονήσας· εἰ μήγε ἄρα συγχαίη, ὅτι παρὰ αἱρετικῶν ἔχει τὴν χειροτονίαν. πῶς γὰρ παρὰ τῆς τοιούτων βαπτισθέντας ἢ χειροτονηθέντας, ἔτε πιστοὺς, ἔτε κληρικοὺς εἶναι δυνατόν.

ξθ. Εἴ τις Ἐπίσκοπος ἢ Πρεσβύτερος ἢ Διάκονος ἢ Ὑποδιάκονος ἢ Ἀναγνώστης ἢ Ψάλτης, τὴν ἁγίαν τεσσαρακοστὴν νηστεύοι, ἢ τετράδα, ἢ παρασκευὴν, καθαιρείσθω· ἐκτὸς, εἰ μὴ δι' ἀσθένειαν σωματικὴν ἐμποδίζοιτο. ἐὰν δὲ Λαϊκὸς ᾖ, ἀφοριζέσθω.

ο. Εἴ τις Ἐπίσκοπος ἢ Πρεσβύτερος ἢ Διάκονος ἢ ὅλως τῶν Καταλόγου τῆς κληρικῶν νηστεύοι μετὰ Ἰουδαίων, ἢ ἑορτάζοι μετ' αὐτῶν, ἢ δέχοιτο παρ' αὐτῶν τὰ τῆς ἑορτῆς ξένια. οἷον, ἄζυμα ἢ τι τοιοῦτον, καθαιρείσθω· εἰς δὲ Λαϊκὸς, ἀφοριζέσθω.

οά. Εἴ τις Χριστιανὸς ἔλαιον ἀπενέγκοι εἰς ἱερὸν Ἐθνῶν ἢ εἰς συναγωγὴν Ἰουδαίων σὺν ταῖς ἑορταῖς αὐτῶν, ἢ λύχνους ἅψοι, ἀφοριζέσθω.

οβ. Εἴ τις κληρικὸς ἢ Λαϊκὸς, ἀπὸ τῆς ἁγίας Ἐκκλησίας ἀφέληται κηρὸν ἢ ἔλαιον, ἀφοριζέσθω. κὴ τὸ ἐπίπεμπτον προσιθέτω μεθ' ὃ ἔλαβεν.

ογ. Σκεῦος χρυσοῦν ἢ ἀργυροῦν ἁγιαθὲν, ἢ ὀθόνιον, μηδεὶς ἔτι εἰς οἰκείαν χρῆσιν σφετερίζέσθω· παράνομον γάρ· εἰδέ τις φωραθείη, ἐπιτιμάσθω ἀφορισμῷ.

οδ. Ἐπίσκοπον κατηγορηθέντα ἐπί τινι παρὰ ἀξιο-

πίστων

πίσων ἀνθρώπων, κλεῖσαι αὐτὸν ἀναγκαῖον ὑπὸ τῆς Ἐπισκόπων. κἂν μὲν ἀπαντήσοι καὶ ὁμολογήσοι, ἢ ἐλεγχθείη, αὐτῷ ὀείζεσθαι τὸ ἐπιτίμιον· ἐὰν δὲ καλούμενος, μὴ ὑπακούσοι, καλείσθω καὶ δεύτερον, ἀποσελλομένων ἐπ' αὐτὸν δύο Ἐπισκόπων. ἐὰν δὲ καὶ οὕτω μὴ ἐπακούσοι, καλείσθω καὶ τρίτον, δύο πάλιν Ἐπισκόπων ἀποσελλομένων πρὸς αὐτόν. ἐὰν δὲ καὶ οὕτω καταφρονήσας μὴ ἀπαντήσοι, ἡ σύνοδος ἀποφαινέσθω κατ' αὐτῷ τὰ δοκοῦντα, ὅπως μὴ δόξῃ κερδαίνειν φυγοδικῶν.

ὀέ. Εἰς μαρτυρίαν τῶν καὶ Ἐπισκόπων αἱρετικὸν μὴ προσδέχεσθαι, ἀλλὰ μὴ δὲ πιστὸν εἶναι· ἐπὶ στόματος γὰρ δύο ἢ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα.

ὁς'. Ὅτι μὴ χρὴ τὸν Ἐπίσκοπον τῷ ἀδελφῷ, ἢ τῷ υἱῷ, ἢ τῷ συγγενεῖ χαριζόμενον, εἰς τὸ ἀξίωμα τῆς Ἐπισκοπῆς χειροτονεῖν ὃν βούλεται· κληρονόμους γὰρ τῆς Ἐπισκοπῆς ποιεῖσθαι, ἃ δίκαιον τὰ τοῦ Θεοῦ χαριζόμενον πάσι ἀνθρωπίνῳ· ἃ γὰρ τῷ τοῦ Θεοῦ Ἐκκλησίαν ὑπὸ κληρονομίαν ὀφείλει τιθέναι· εἰ δέ τις τοῦτο ποιήσει, ἄκυρος μὲν ἔστω ἡ χειροτονία· αὐτὸς δὲ, ἐπιτιμάσθω ἀφορισμῷ.

οζ'. Εἴ τις ἀνάπηρος, ἢ τὸν ὀφθαλμόν, ἢ τὸ σκέλος πεπληγμένος, ἄξιος δέ ἐστιν Ἐπισκοπῆς, γινέσθω. οὐ γὰρ λώβη σώματος αὐτὸν μιαίνει, ἀλλὰ ψυχῆς μολυσμός.

οή. Κωφὸς δὲ ὢν καὶ τυφλὸς, μὴ γινέσθω Ἐπίσκο-

πος.

πος· οὐχ' ὡς μεμιαμμένος, ἀλλ' ἵνα μὴ τὰ Ἐκκλησιαστικὰ παρεμποδίζοιτο.

Ε'αν τις δαίμονα ἔχῃ, κληρικὸς μὴ γινέσθω· ἀλλὰ μηδὲ τῶν πιστῶν συνδιχέσθω· καθαιρεθεὶς δὲ, προσδεχέσθω. καὶ ἐὰν ᾖ ἄξιος, γινέσθω. ὁθ'.

Τὸν ἐξ ἐθνικοῦ βίου προσελθόντα καὶ βαπτισθέντα, ἢ ἐκ φαύλης ἀγωγῆς, οὐ δικαιοῦσι πάραυτα προχειρίζεσθαι Ἐπίσκοπον. ἄδικον γὰρ, τὸν μηδέπω πεῖραν ἐπιδεξάμενον, ἑτέρων εἶναι διδάσκαλον: εἰ μή που καὶ θείᾳ χάριτι τοῦτο γένηται. π'.

Εἴπομεν, ὅτι μὴ χρὴ Ἐπίσκοπον ἢ Πρεσβύτερον καθίστασθαι ἑαυτὸν εἰς δημοσίας διοικήσεις, ἀλλὰ προσδιαιρεῖν ταῖς Ἐκκλησιαστικαῖς χρείαις· ἢ πειθέσθω ἢ, τοῦτο μὴ ποιεῖν, ἢ καθαιρείσθω. οὐδεὶς γὰρ δύναται δυσὶ Κυρίοις δουλεύειν, καὶ τῷ κυριακῷ παραγγέλλοντι. πά.

Οἰκέτας εἰς κλῆρον προχειρίζεσθαι οὐδὲ τῆς τῶν θεσπεσίων γνώμης, οὐκ ἐπιτρέπομεν ἐπὶ λύπῃ τῶν θεσπεσίων τῶν κεκτημένων· οἰκεῖον γὰρ ἀνατρέπει τὸ τοιοῦτον ἐργάζεται. εἰδέποτε καὶ ἄξιος φανείη οἰκέτης πρὸς χειροτονίαν βαθμοῦ, οἷος καὶ ὁ ἡμέτερος Ὀνήσιμος ἐφάνη, καὶ συγχωρήσουσιν οἱ δεσπόται, καὶ ἐλευθερώσουσιν, καὶ τοῦ οἴκου ἑαυτῶν ἐξαποστελοῦσι, γινέσθω. πβ.

Ἐπίσκοπος ἢ Πρεσβύτερος ἢ Διάκονος, στρατείαν χολάζων, καὶ βουλόμενος ἀμφότερα κατέχειν, ῥωμαϊ- πγ.

κῷ

κλῳ ἀρχῖῳ ϗ ἱερατικῷ διοικησιν, καθαιρείσθω. τὰ γὰρ καίσαρος, καίσαρι· ϗ τὰ τῦ Θεῦ, τῷ Θεῷ.

πδ'. Ὅστις ὑβρίσει βασιλέα ἢ ἄρχοντα, παρὰ τὸ δίκαιον, τιμωρίαν τινυέτω. ϗ εἰ μὲν κληρικὸς, καθαιρείσθω. εἰ δὲ Λαϊκὸς, ἀφοριζέσθω.

πέ. Ἕως δὲ ὑμῖν πᾶσι κληρικοῖς ϗ Λαϊκοῖς βιβλία σεβάσμια ϗ Ἅγια, τῆς μὲν ΠΑΛΑΙΑΣ διαθήκης, Μωϋσέως πέντε, γένεσις, ἔξοδος, Λευϊτικὸν, ἀριθμοὶ, δευτερονόμιον, Ἰησῦ υἱῦ Ναβὴ ἓν, Κριτῶν ἓν, Ῥὼθ ἓν, Βασιλειῶν τέσσαρα, παραλειπομένων τῆς βίβλυ ἡμέρων δύο, Ἔσδρα δύο, Ἐσθὴρ ἓν, Μακκαβαίων τρία, Ἰὼβ ἓν, ψαλτήριον ἓν, Σολομῶντος τρία, παροιμίαι, Ἐκκλησιαστὴς, ᾆσμα ἀσμάτων, Προφητῶν δέκα δύο, ἓν Ἡσαΐυ, ἓν Ἱερεμίυ, ἓν Ἰεζεκιὴλ, Δανιὴλ ἓν. ἔξωθεν δὲ ὑμῖν προσιστορείσθω μανθάνειν ὑμῶν τὰς νέας, τὴν σοφίαν τῦ πολυμαθῦς Σιράχ. ἡμέτερα δὲ, τυπέσι, τῆς Καινῆς διαθήκης, εὐαγγέλια τέσσαρα, Ματθαίυ, Μάρκυ, Λυκᾶ, Ἰωάννυ. Παύλυ Ἐπιστολαὶ δεκατέσσαρες, Πέτρυ Ἐπιστολαὶ δύο, Ἰωάννυ τρεῖς, Ἰακώβυ μία, Ἰούδα μία, Κλήμεντος Ἐπιστολαὶ δύο. ϗ αἱ διαταγαὶ ὑμῖν τοῖς Ἐπισκόποις δι' ἐμῦ Κλήμεντος ἐν ὀκτὼ βιβλίοις προτεφωνημέναι (ἃς οὐ χρὴ δημοσιεύειν ἐπὶ πάντων, διὰ τὰ ἐν αὐταῖς μυστικά.) ϗ αἱ πράξεις ἡμῶν τῶν Ἀποστόλων.

πς'. Ταῦτα δὲ περὶ Κανόνων διατέταχθω ὑμῖν παρ' ἡμῶν,



Η Ἁγία καὶ οἰκουμενικὴ ά. Σύνοδος γέγονε βασιλεύοντος τοῦ μεγάλου Κωνσταντίνου, τῷ δεκάτῳ ἔτει τῆς αὐτοῦ βασιλείας, ἀθροισθέντων ἐν Νικαίᾳ τῆς Βιθυνίας, τριακοσίων δέκα καὶ ὀκτὼ Ἁγίων Πατέρων καὶ Ἀρείου γεγονότος πρεσβυτέρου τῆς καθ' Ἀλεξάνδρειαν Ἐκκλησίας· ὃς ἐβλασφήμει καὶ τὸν Υἱὸν τοῦ Θεοῦ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, λέγων μὴ ὁμοούσιον εἶναι αὐτὸν τῷ Θεῷ καὶ Πατρί, κτίσμα δὲ, καὶ ὅτι ἦν, ὅτε οὐκ ἦν· ὃν ἡ Ἁγία αὕτη Σύνοδος καθεῖλε καὶ ἀνεθεμάτισε μετὰ τῆς ὁμοφρόνων αὐτῇ. ἐδογμάτισε δὲ ὁμοούσιον τῷ Πατρὶ τὸν Υἱὸν, καὶ Θεὸν ἀληθινὸν, καὶ Δεσπότην καὶ Κύριον, καὶ κτίστην ἁπάντων τῶν κτισῶν, ἀλλ' οὐ κτίσμα. οὐ δὲ μόνον ἔπταιγε ποίημα. Ά. δὲ λέγεται πρὸς τὰς οἰκουμενικὰς ἀριθμεῖσθαι. ἐπεὶ γεγόνασι τοπικαὶ Σύνοδοι, πρὸ αὐτῆς καὶ μετ' αὐτήν· ἀλλὰ τῶν οἰκουμενικῶν αὕτη ἔσται πρώτη, προτέτακται καὶ τῶν λοιπῶν τῶν πρὸ αὐτῆς γενομένων. τῆς δὲ Ἀντιοχείας δηλονότι καὶ Παύλου τοῦ Σαμοσατέως, συγκροτηθείσης ἐπὶ Αὐρηλιανοῦ Βασιλέως. τῆς δὲ Ἀγκύρας καὶ τῆς δὲ Νεοκαισαρείας.

Χρόν: ἀπὸ Χριστοῦ, 325.

ΚΑ-

ΚΑΝΟΝΕΣ ΤΩΝ ΤΡΙΑΚΟΣΙΩΝ

Δέκα καὶ Ὀκτὼ Ἁγίων Πατέρων τῶν ἐν Νικαίᾳ Συνελθόντων, ἐν Ὑπατείᾳ Παυλίνου καὶ Ἰουλιανοῦ τοῦ Λαμπροτάτων· Ε". τους Χλ"ς ἀπὸ Ἀλεξάνδρου· Ἐν μηνὶ Δεσίῳ Ἐννέᾳ καὶ Δεκάτῃ πρὸ Δεκατριῶν Καλανδῶν Ἰουλίων.

Εἴ τις ὑπὸ νόσῳ ὑπὸ ἰατρῶν ἐχειρουργήθη, ἢ ὑπὸ βαρβάρων ἐξετμήθη, ἔστω ὑπὸ τῷ κλήρῳ· εἰ δέ τις ὑγιαίνων ἑαυτὸν ἐξέτεμε, χρὴ τὸν καὶ ἐν τῷ κλήρῳ ἐξεταζόμενον πεπαῦθαι προσήκει· καὶ ἐν τῷ δεῦρο μηδένα τῶν τοιούτων χρὴ ἀγεσθαι προάγεσθαι. ὥσπερ δὲ τοῦτο πρόδηλον, ὅτι περὶ τῶν ἐπιτηδευόντων τὸ πρᾶγμα καὶ τολμώντων ἑαυτοὺς ἐκτέμνειν, εἴρηται· ὅ. τινες εἴτινες ὑπὸ βαρβάρων ἢ δεσποτῶν διωχίθησαν, δείσκοιντο ἄλλως ἄξιοι, τοὺς τοιούτους εἰς κλῆρον προσίεται ὁ Κανών. ά.

Ἐπειδὴ πολλὰ, ἤτοι ὑπὸ ἀνάγκης ἢ ἄλλως ἐπιγενομένων τῶν ἀνθρώπων ἐγένετο παρὰ τὸν Κανόνα τὸν Ἐκκλησιαστικὸν, ὥστε ἀνθρώπους ἀπὸ ἐθνικῆς βίου ἄρτι προσελθόντας τῇ πίστει, καὶ οὐ ὀλίγῳ χρόνῳ κατηχηθέντας, αὐθις ἐπὶ τὸ βιωματικὸν λου- β.

ξὸν ἄγειν, ηὲ ἅμα τὸ βαπτιθῆναι προσάγειν εἰς Ἐπισκοπὴν, ἢ εἰς πρεσβυτέριον· καλῶς ἔδοξεν ἔχειν τῇ λοιπῇ μηδενὶ πίστιν γίνεσθαι· ηὲ γὰρ ηὲ χρόνος δεῖ τῷ κατηχουμένῳ, καὶ μετὰ τὸ βάπτισμα δοκιμασίας πλείονος. σαφὲς γὰρ τὸ Ἀποστολικὸν γράμμα τὸ λέγον· μὴ δὲ νεόφυτον, ἵνα μὴ τυφωθεὶς εἰς κρῖμα ἐμπέσῃ ηὲ παγίδα τοῦ διαβόλου. εἰ δὲ προϊόντος τοῦ χρόνου, ψυχικόντι ἁμάρτημα εὑρεθείη περὶ τὸ πρόσωπον, καὶ ἐλέγχοιτο ὑπὸ δύο ἢ τριῶν μαρτύρων, πεπαύσθω ὁ τοιοῦτος τοῦ κλήρου· ὁ δὲ παρὰ ταῦτα ποιῶν, ὡς ὑπεναντία τῇ μεγάλῃ Συνόδῳ θρασυνόμενος, αὐτὸς κινδυνεύσει περὶ τὸν κλῆρον.

γ'. Ἀπηγόρευσεν καθόλου ἡ μεγάλη Σύνοδος, μήτε Ἐπισκόπῳ, μήτε Πρεσβυτέρῳ, μήτε Διακόνῳ, μήτε ὅλως τινὶ τῶν ἐν κλήρῳ, ξένην συνείσακτον ἔχειν· πλὴν εἰ μὴ ἄρα μητέρα, ἢ ἀδελφὴν, ἢ θείαν ἢ ἃ μόνα πρόσωπα πᾶσαν ὑποψίαν ἀποφεύγει.

δ'. Ἐπίσκοπον προσήκει μάλιστα μὲν ὑπὸ πάντων τῶν ἐν τῇ ἐπαρχίᾳ καθίζεσθαι. εἰ δὲ δυσχερὲς εἴη τὸ τοιοῦτο, ἢ διὰ κατεπείγουσαν αἰτίαν, ἢ διὰ μῆκος ὁδοῦ, ἐξ ἅπασης ζεύξεως ἐπὶ τὸ αὐτὸ συναγομένους, συμψήφους γινομένων καὶ τῶν ἀπόντων καὶ συντιθεμένων διὰ γραμμάτων, τότε τὴν χειροτονίαν ποιεῖσθαι, τὸ δὲ κῦρος τῶν γινομένων δίδοσθαι καθ' ἑκάστην ἐπαρχίαν τῇ μητροπόλει.

ε'. Περὶ τῶν ἀκοινωνήτων γενομένων, εἴτε τῶν ἐν κλήρῳ

κλήρῳ εἴτε τῶν ἐν λαϊκῷ τάγματι ὑπὸ τῶν καθ' ἑκάστην ἐπαρχίαν Ἐπισκόπων, κρατείτω ἡ γνώμη κατὰ τοὺς Κανόνας τοὺς διαγορεύοντας, τοὺς ὑφ' ἑτέρων ἀποβληθέντας, ὑφ' ἑτέρων μὴ προσίεσθαι. ἐξεταζέσθω δὲ, μὴ μακροψυχία, ἢ φιλονεικία, ἢ τινὶ τοιαύτῃ ἀνδρὶ τῶν Ἐπισκόπων ἀποστωμύλοι γεγένηνται· ἵνα ἐν τῷ τοιῷ πρέπουσαν ἐξέτασιν λαμβάνοι, καλῶς ἔχειν, ἔδοξεν ἑκάστῃ ἐπαρχίᾳ τοιαύτῃ καθ' ἑκάστην ἐπαρχίαν, δίς τῆς ἔτους, συνόδους γίνεσθαι· ἵνα κοινῇ πάντων τῶν Ἐπισκόπων τῆς ἐπαρχίας ἐπὶ τὸ αὐτὸ συναγομένων, τὰ τοιαῦτα ζητήματα ἐξετάζοιτο· καὶ δῆτως οἱ ὁμολογουμένως προσκεκρουκότες τῷ Ἐπισκόπῳ κατὰ λόγον ἀκοινώνητοι παρὰ πᾶσιν εἶναι δόξωσι, μέχρις ἂν τῇ κοινῇ τῶν Ἐπισκόπων ψήφῳ τοῦ φιλανθρωποτέραν ὑπὲρ αὐτῶν ἐνθέσθαι ψῆφον· αἱ δὲ συνόδοι γινέσθωσαν, μία μὲν, πρὸ τῆς τεσσαρακοστῆς, ἵνα πάσης μικροψυχίας ἀπαρεμπόδιστος, τὸ δῶρον καθαρὸν προσφέρηται τῷ Θεῷ. δευτέρα δὲ, περὶ τὸν τοῦ μετοπώρου καιρόν.

ς'. Τὰ ἀρχαῖα ἔθη κρατείτω, τὰ ἐν Αἰγύπτῳ καὶ Λιβύῃ καὶ Πενταπόλει, ὥστε τὸν ἐν Ἀλεξανδρείᾳ Ἐπίσκοπον πάντων τούτων ἔχειν τὴν ἐξουσίαν, ἐπειδὴ καὶ τῷ ἐν τῇ Ῥώμῃ Ἐπισκόπῳ τοῦτο συνήθες ἐστιν, ὁμοίως δὲ καὶ κατὰ τὴν Ἀντιόχειαν καὶ ἐν ταῖς ἄλλαις ἐπαρχίαις, τὰ πρεσβεῖα σώζεσθαι ταῖς Ἐκκλησίαις· καθόλου δὲ πρόδηλον ἐκεῖνο, ὅτι εἴ τις χωρὶς γνώ-

γνώμης τῆ μητροπόλιτ γένοιτο Ἐπίσκοπος, τὸν τοιοῦτον ἡ μεγάλη Σύνοδος ὥρισε μὴ δεῖν εἶναι Ἐπίσκοπον· ἐὰν μέντοι τῇ κοινῇ πάντων ψήφῳ ὀλίγῳ ὕστερον, καὶ κατὰ Κανόνα Ἐκκλησιαστικὸν, δύο, ἢ τρεῖς, διὰ οἰκείαν φιλονεικίαν ἀντιλέγωσι, κρατείτω ἡ τῶν πλειόνων ψῆφος.

ζ'. Ἐπειδὴ συνήθεια κεκράτηκε καὶ παράδοσις ἀρχαία, ὥστε τὸν ἐν Αἰλίᾳ Ἐπίσκοπον τιμᾶσθαι, ἐχέτω τὸ ἀκολουθίαν τῆς τιμῆς τῇ μητροπόλει, σωζομένου τοῦ οἰκείου ἀξιώματος.

η'. Περὶ τῶν ὀνομαζόντων μὲν ἑαυτοὺς καθαροὺς ποτὲ, προσερχομένων δὲ τῇ Καθολικῇ καὶ Ἀποστολικῇ Ἐκκλησίᾳ, ἔδοξε τῇ ἁγίᾳ καὶ μεγάλῃ Συνόδῳ, ὡς περ χειροθετουμένους αὐτοὺς, μένειν οὕτως ἐν τῷ κλήρῳ. πρὸ πάντων δὲ τοῦτο ὁμολογῆσαι αὐτοὺς ἐγγράφως προσήκει, ὅτι συνθήσονται, καὶ ἀκολουθήσουσι τοῖς τῆς Καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας δόγμασι, τουτέστι, καὶ διγάμοις κοινωνεῖν, καὶ τοῖς ἐν τῷ διωγμῷ παραπεπτωκόσιν· ἐφ' ὧν καὶ χρόνος τέτακται, καὶ καιρὸς ὥρισται· ὡς τε αὐτοὺς ἀκολουθεῖν, ἐν πᾶσι τοῖς δόγμασι τῆς Καθολικῆς Ἐκκλησίας. ἐνθα μὲν οὖν πάντες εἴτε ἐν κώμαις, εἴτε ἐν πόλεσιν αὐτοὶ μόνοι διεχειροτονήθησαν, οἱ διεσκομισμένοι ἐν τῷ κλήρῳ ἔσονται ἐν τῷ αὐτῷ σχήματι· εἰ δὲ τῷ τῆς Καθολικῆς Ἐκκλησίας Ἐπισκόπῳ ἢ Πρεσβυτέρῳ ὅπου προσέρχονταί τινες, πρόδηλον, ὡς ὁ μὲν

Ἐπί-

Ἐπίσκοπος τῆς Ἐκκλησίας, ἕξει τὸ ἀξίωμα τοῦ Ἐπισκόπου· ὁ δὲ ὀνομαζόμενος παρὰ τοῖς λεγομένοις καθαροῖς Ἐπίσκοπος, τιμὴν τοῦ Πρεσβυτέρου τιμὴν ἕξει· πλὴν εἰ μὴ ἄρα δοκοίη τῷ Ἐπισκόπῳ τῆς τιμῆς τοῦ ὀνόματος αὐτὸν μετέχειν· εἰ δὲ τοῦτο αὐτῷ μὴ ἀρέσκοι, ἐπινοήσει τόπον ἢ Χωρεπισκόπου ἢ Πρεσβυτέρου ὑπὲρ τοῦ τὸν κλήρῳ ὅλως δοκεῖν εἶναι, ἵνα μὴ ἐν τῇ πόλει δύο Ἐπίσκοποι ὦσιν.

θ'. Εἴ τινες ἀνεξετάστως προήχθησαν Πρεσβύτεροι, ἢ ἀναμενόμενοι ὡμολόγησαν τὰ ἁμαρτήματα αὐτοῖς, καὶ ὁμολογησάντων αὐτῶν, παρὰ Κανόνα, κινδυνεύουσιν οἱ ἄνθρωποι τοῖς τοιούτοις χεῖρα ἐπιτεθήκασιν. τούτους ὁ Κανὼν ἀποδέχεται. τὸ γὰρ ἀνεπίληπτον ἐνδείκνυται ἡ Καθολικὴ Ἐκκλησία.

ι'. Ὅσοι προεχειρίσθησαν τῶν παραπεπτωκότων καὶ ἄγνοιαν, ἢ καὶ προειδότων τῶν προχειρισαμένων, τοῦτο ἀποδέχεται τῷ Κανόνι τῷ Ἐκκλησιαστικῷ. γνωσθέντες γὰρ καθαιρεθήνται.

ια'. Περὶ τῶν παραβαινόντων χωρὶς ἀνάγκης, ἢ χωρὶς ἀφαιρέσεως ὑπαρχόντων, ἢ χωρὶς κινδύνου, ἢ τινος τοιούτου, ὃ γέγονεν ἐπὶ τῆς τυραννίδος Λικινίου· ἔδοξε τῇ συνόδῳ, εἰ καὶ ἀνάξιοι ἦσαν φιλανθρωπίας, ὅμως χρησθῆναι εἰς αὐτούς. ὅσοι ἂν γνησίως μεταμελῶνται, ἓξ ἔτη ἐν ἀκροωμένοις ποιήσουσιν ὡς πιστοί. καὶ ἐπτὰ ἔτη ὑποπεσοῦνται. δύο δὲ ἔτη χωρὶς προσφορᾶς κοινωνήσουσι τῷ λαῷ τῆς προσευχῆς.

ιβ. Οἱ δὲ προσκληθέντες μὲν ἀπὸ τῆς χάριτος, καὶ τῷ πρώτῳ ὁρμῷ ἐνδειξάμενοι, καὶ ἀποθέμενοι τὰς ζώνας, μετὰ δὲ ταῦτα ἐπὶ τὸν οἰκεῖον ἔμετον ἀναδραμόντες ὡς κυνες, ὡς τιμὰς καὶ ἀργύρια προέσθαι, καὶ βδελυκτοῖς καπηλεῦσαι τὸ ἀνάστρατον ἐσθαι. ὅτοι δέκα ἔτη ὑποπιπτέτωσαν, μετὰ τὸν τῆς ζητεῖς ἀκροάσεως χρόνον· ἐφ' ἅπασι δὲ τούτοις, προσήκει ἐξετάζειν τῷ προαίρεσιν καὶ τὸ εἶδος τῆς μετανοίας. ὅσοι μὲν γὰρ καὶ φόβῳ καὶ δάκρυσι καὶ ὑπομονῇ καὶ ἀγαθοεργίαις, τῷ ἐπιστροφῷ ἔργῳ καὶ οὐ σχήματι ἐπιδείκνυνται, ὅτι πληρώσαντες τὸν χρόνον τὸν ὡρισμένον τῆς ἀκροάσεως, εἰκότως δεῖ δ' ἐχῶν κοινωνήσουσι, μετὰ τὸ δεῖναι τῷ Ἐπισκόπῳ καὶ φιλανθρωπότερόν τι περὶ αὐτῶν βουλεύσασθαι. ὅσοι δὲ ἀδιαφόρως ἠνέγκαν, καὶ τὸ χῆμα τὸ εἰσιέναι εἰς τῷ Ἐκκλησίαν ἀρκεῖν αὐτοῖς ἡγήσαντο πρὸς τῷ ἐπιστροφῷ, δι' ἅπαντος πληρώτωσαν τὸν χρόνον.

ιγ. Περὶ δὲ τῶν ἐξοδεύοντων, ὁ παλαιὸς καὶ Κανονικὸς νόμος φυλαχθήσεται καὶ νῦν, ὥστε, εἴ τις ἐξοδεύοι, τὸ τελευταῖον καὶ ἀναγκαιότατον ἐφόδιον μὴ ἀποστερεῖσθαι· εἰ δὲ ἀπογνωσθεὶς καὶ κοινωνίας πάλιν τυχὼν, πάλιν ἐν τοῖς ζῶσιν ἐξετασθῇ, μετὰ τῶν κοινωνούντων τῆς εὐχῆς μόνης ἔσω· καθόλου δὲ καὶ περὶ πάντος ἀτινοσοῦν ἐξοδεύοντος αἰτοῦντος τὸ μεταλαβεῖν εὐχαριστίας, ὁ Ἐπίσκοπος μετὰ δοκιμασίας μεταδιδότω τῆς προσφορᾶς.

ιδ. Περὶ

Περὶ τῶν κατηχουμένων καὶ παραπεσόντων ἔδοξε τῇ ἁγίᾳ καὶ μεγάλῃ Συνόδῳ, ὥστε τριῶν ἐτῶν αὐτοὺς ἀκροωμένους μόνον, μετὰ ταῦτα εὔχεσθαι μετὰ τῶν κατηχουμένων.

ιδ. Διὰ τὸν πολὺν πάραχον καὶ πᾶς σάσεις τὰς γινομένας, ἔδοξε παντάπασι περιαιρεθῆναι τῇ συνήθειαν τῇ παρὰ τὸν Ἀποστολικὸν Κανόνα διορθωθεῖσαν ταῖς ἑαυτῶν μέρεσιν· ὥστε ἀπὸ πόλεως εἰς πόλιν μὴ μεταβαίνειν, μήτε Ἐπίσκοπον, μήτε Πρεσβύτερον, μήτε Διάκονον· εἰ δέ τις μετὰ τὸν τῆς ἁγίας καὶ μεγάλης Συνόδου ὅρον, τοιούτῳ τινὶ ἐπιχειρήσειεν, ἢ ἐπιδοίη ἑαυτὸν πράγματι τοιούτῳ, ἀκυρωθήσεται ἐξάπαντος τὸ κατασκεύασμα, καὶ ἀποκατασταθήσεται τῇ Ἐκκλησίᾳ, ἐν ᾗ ὁ Ἐπίσκοπος, ἢ ὁ Πρεσβύτερος ἐχειροτονήθη.

ιέ. Ὅσοι ῥιψοκινδύνως μήτε τὸν φόβον τοῦ Θεοῦ πρὸ ὀφθαλμῶν ἔχοντες, μήτε τὸν Ἐκκλησιαστικὸν Κανόνα εἰδότες ἀναχωρήσουσι τῆς Ἐκκλησίας, Πρεσβύτεροι ἢ Διάκονοι, ἢ ὅλως ἐν τῷ Κανόνι ἐξεταζόμενοι· ὅτι ἀδαμῶς δεκτοὶ ὀφείλουσιν εἶναι ἐν ἑτέρᾳ Ἐκκλησίᾳ, ἀλλὰ πᾶσαν αὐτοῖς ἀνάγκην ἐπάγεσθαι χρὴ, ἀναστρέφειν εἰς τὰς ἑαυτῶν παροικίας, ἢ ἐπιμένοντας, ἀκοινωνήτους εἶναι προσήκει. εἰ δὲ καὶ τυμπανισθείη τις ὑφαρπᾶσαι τὸν τῷ ἑτέρῳ διαφέροντα, καὶ χειροτονῆσαι ἐν τῇ αὐτοῦ Ἐκκλησίᾳ, μὴ συγκατατιθεμένου τοῦ ἰδίου Ἐπισκόπου, ὃν ἀνεχώρησεν,

ὁ ἐν

ὁ σὺν τῷ Κανόνι ἐξεταζόμενος, ἄπυρος ἔσω ἡ χειροτονία.

ιε'. Ἐπειδὴ πολλοὶ σὺν τῷ Κανόνι ἐξεταζόμενοι τὴν πλεονεξίαν καὶ τὴν αἰσχροκερδίαν διώκοντες, ἐπελάθοντο τῆς θείας γράμματος λέγοντος, τὸ ἀργύριον αὐτῶν οὐκ ἔδωκεν ἐπὶ τόκῳ. καὶ δανείζοντες, ἑκατοστὰς ἀπαιτοῦσιν, ἐδικαίωσεν ἡ ἁγία καὶ μεγάλη Σύνοδος, ὡς εἴτις εὑρεθείη μετὰ τὸν ὅρον τοῦτον τόκους λαμβάνειν, ἢ μεταχειρίσεως, ἢ ἄλλως μεταχόμενος τὸ πρᾶγμα, ἢ ἡμιολίας ἀπαιτῶν, ἢ ὅλως ἕτερόν τι ἐπινοῶν αἰσχρὸν κέρδους εἵνεκα, καθαιρεθήσεται τοῦ κλήρου, καὶ ἀλλότριος τοῦ Κανόνος ἔσται.

ιζ'. Ἦλθεν εἰς τὴν ἁγίαν καὶ μεγάλην Σύνοδον ὅτι σὺν τισὶ τόποις καὶ πόλεσιν, τοῖς Πρεσβυτέροις τὴν διχοστασίαν οἱ Διάκονοι διδόασιν, ὅπερ οὔτε ὁ Κανὼν, οὔτε ἡ συνήθεια παρέδωκεν, τοὺς ἐξουσίαν μὴ ἔχοντας προσφέρειν, τοῖς προφέρουσι διδόναι τὸ σῶμα τοῦ Χριστοῦ· καὶ τοῦτο δὲ ἐγνωρίσθη, ὅτι ἤδη τινὲς τῶν Διακόνων καὶ πρὸ τῶν Ἐπισκόπων τῆς διχοστασίας ἅπτονται. Ταῦτα οὖν πάντα περιηρήσθω· καὶ ἐμενέτωσαν οἱ Διάκονοι τοῖς ἰδίοις μέτροις, εἰδότες, ὅτι τοῦ μὲν Ἐπισκόπου ὑπηρέται εἰσὶν, τῶν δὲ Πρεσβυτέρων ἐλάττους τυγχάνουσι. λαμβανέτωσαν δὲ κατὰ τὴν τάξιν, τὴν διχοστασίαν μετὰ τοὺς Πρεσβυτέρους, ἢ τοῦ Ἐπισκόπου διδόντος αὐτοῖς, ἢ τῶν Πρεσβυτέρων· ἀλλὰ μὴ δὲ καθῆσθαι ἐν μέσῳ τῶν Πρεσβυτέρων

ἐξέστω

ἐξέστω τοῖς Διακόνοις· παρὰ Κανόνα γὰρ ἡ παράταξιν ἐστὶ τὸ γινόμενον. εἰδέτις μὴ θέλοι πειθαρχεῖν ἢ μετὰ πάσης τῆς ὁρᾶς, πεπαύσθω τῆς Διακονίας.

Περὶ τῶν Παυλιανιστῶν, εἴτα προσφυγόντων τῇ Καθολικῇ Ἐκκλησίᾳ, ὅρος ἐκτέθειται ἀναβαπτίζεσθαι αὐτοὺς ἐξάπαντος· εἰ δέτινες τῶν παρελυθότι χρόνῳ σὺν τῷ κλήρῳ ἐξεπατήθησαν, εἰ μὲν ἄμεμπτοι καὶ ἀνεπίληπτοι φανεῖεν, ἀναβαπτισθέντες χειροτονήσθωσαν ὑπὸ τοῦ τῆς Καθολικῆς Ἐκκλησίας Ἐπισκόπου· εἰ δὲ ἡ ἀνάκρισις ἀνεπιτηδείους αὐτοὺς δείξοι, καθαιρεῖσθαι αὐτοὺς προσήκει. ὡσαύτως δὲ καὶ περὶ τῶν διακονισσῶν, καὶ ὅλως περὶ τῶν σὺν τῷ Κανόνι ἐξεταζομένων ὁ αὐτὸς τύπος παραφυλαχθήσεται. ἐμνήσθημεν δὲ τῶν Διακονισσῶν τῶν σὺν τῷ χήματι ἐξεταστθεισῶν, ἐπεὶ μὴ δὲ χειροθεσίαν τινὰ ἔχουσι, ὥστε ἐξάπαντος σὺν τοῖς Λαϊκοῖς αὐτὰς ἐξετάζεσθαι.

ιθ'.

Ἐπειδή τινες εἰσὶν σὺν τῇ Κυριακῇ γόνυ κλίνοντες, καὶ σὺν ταῖς τῆς Πεντηκοστῆς ἡμέραις, ὑπὲρ τοῦ πάντα σὺν πάσῃ παροιμίᾳ φυλάττεσθαι, ἐσώπας, ἔδοξε τῇ ἁγίᾳ Συνόδῳ τὰς εὐχὰς ἀποδιδόναι τῷ Θεῷ.

ΚΑΝΟ'

ΚΑΝΟΝΕΣ ΤΩΝ ΕΝ ΑΓΚΥΡΑ, ΣΥΝΕΛΘΟΝΤΩΝ.

Μακαρίῳ Πατέρῳ· οἵ τιμες προγεμέστεροι μέν εἰσιν τῆς ἐν Νικαία ἑκτεθέντος Κανόνος, δευτερεύουσι δὲ διὰ τὴν τῆς οἰκουμενικῆς Συνόδου αὐθεντείαν, γέγονε δὲ ἐν μετροπόλει τῆς γαλατίας. ἄρχον δὲ τούτης Οὐϊτέλιος Ἀντιοχείας τῆς Συρίας, Ἀγρικόλαος Καισαρίας Καππαδοκίας, καὶ ὁ μάρτυς Βασίλειος Ἐπίσκοπος Ἀμασείας. καὶ ἐζήτησε εἰ χρὴ δέχεσθαι τοὺς θύσαντας τοῖς εἰδώλοις καὶ προσερχομένους τῇ Ἐκκλησίᾳ.

ά. ΠΡεσβυτέρους τοὺς ἐπιθύσαντας, εἶτα ἀναπαλαίσαντας, μήτε ἐκ μεθόδου τινός, ἀλλ' ἐξ ἀληθείας, μήτε προκαταστκλάσαντας καὶ ἐπιτιθύσαντας καὶ πείσαντας, ἵνα δόξωσι μὲν βασανίζεσθαι, τοῦτο δὲ δοκεῖν καὶ τῷ σχήματι προσαχθῆναι· τοὺς ἔδοξε τῆς μὲν τιμῆς τῆς καὶ τοῦ καθέδραν μετέχειν, προσφέρειν δὲ αὐτοὺς, ἢ ὁμιλεῖν, ἢ ὅ-

λως λειτουργεῖν τι τῶν ἱερατικῶν λειτουργιῶν μὴ ἔξεῖναι.

Διακόνους ὁμοίως θύσαντας, μετὰ δὲ ταῦτα ἀναπαλαίσαντας, τοῦ μὲν ἄλλου τιμοῦ ἔχειν, πεπαῦσθαι δὲ αὐτοὺς πάσης τῆς ἱερᾶς λειτουργίας, τοῦ τε προσφέρειν ἢ ποτήριον ἀναφέρειν, ἢ κηρύσσειν· εἰ μέντοι τινὲς τῶν Ἐπισκόπων τόνους σωτηρίους κάματόν τινα ἢ ταπείνωσιν πραότητος· καὶ ἐθέλοιεν πλείονι διδόναι ἢ ἀφαιρεῖν, ἐπ' αὐτοῖς εἶναι τοῦ ἐξουσίαν. β'.

Τοὺς φεύγοντας καὶ συλληφθέντας, ἢ ὑπὸ οἰκείων παραδοθέντας, ἢ ἄλλως τὰ ὑπάρχοντα ἀφαιρεθέντας ἢ δουλωθέντας βασάνοις, ἢ εἰς δεσμωτήριον ἐμβληθέντας, βοῶντάς τε, ὅτι εἰσὶ Χριστιανοὶ, καὶ πεισχυθέντες, ὅτι εἰς τὰς χεῖρας πρὸς βίαν ἐμβαλόντων τῶν βιαζομένων, ἢ βρώματι πρὸς ἀνάγκην δεξαμένους, ὁμολογοῦντας δὲ δόλῳ, ὅτι εἰσὶ Χριστιανοὶ, καὶ τὸ πένθος τοῦ συμβάντος ἀεὶ ἐπιδεικνυμένους τῇ πάσῃ καταστολῇ καὶ τῷ σχήματι καὶ τῇ τοῦ βίου ταπεινώσει· τούτους ὡς ἔξω ἁμαρτήματος ὄντας, τῆς κοινωνίας μὴ κωλύεσθαι· εἰ δὲ καὶ ἐκωλύθησαν ὑπό τινος, περισσοτέρας ἀκριβείας σχέσιν, εἰ καί τινων ἀγνοίᾳ λύθησαν προσδεχθῆναι δεῖ. τοῦτο δὲ ὁμοίως ἐπὶ τε τῶν ἐν τῷ κλήρῳ καὶ τῶν ἄλλων Λαϊκῶν· προσεξετάσθη δὲ καὶ ἐκεῖνο, εἰ δώκασι καὶ Λαϊκοὶ τῇ αὐτῇ ἀνάγκῃ ὑποπεσόντες προσάγεσθαι εἰς τάξιν. ἔδοξεν οὖν καὶ τοῦτο, ὡς μηδὲν ἡμαρτηκότας, εἰ καὶ ἡ προ-

γ'.

λαβόσα δείσηοιτο ὀρθὴ τὸ βίυ πολιτεία, προχειρίζεσθαι.

δ'. Περὶ τῶν πρὸς βίαν θυσάντων, ἐπὶ δὲ τύποις, καὶ τῶν δεπτησαώτων εἰς τὰ εἴδωλα. ὅσοι μὲν ἀπαγόμενοι, καὶ χήματι σφοδρωτέρῳ αὐτῶν ἦλθον, καὶ ἐσθῆτι ἐχρήσαντο πολυτελεστέρᾳ, καὶ μετέσχον τῶν παρασκδασθέντος δείπνου ἀδιαφόρως· ἔδοξεν αὐτοὺς ἀφορίσαι· ὑποπεσεῖν δὲ τρία ἔτη· δύο δὲ μόνης κοινωνῆσαι, ἔτη δύο· καὶ τότε ἐλθεῖν ἐπὶ τὸ τέλειον.

έ. Ὅσοι δὲ αὐτῶν ἦλθον μετὰ ἐσθῆτος πανθικῆς, καὶ ἀναπεσόντες ἔφαγον μεταξὺ δι' ὅλης τῆς ἀκολήσεως δακρύοντες, οἱ ἐπλήρωσαν τὸν τῆς ὑποπτώσεως χρόνον, χωρὶς προσφορᾶς δεχθήτωσαν· οἱ δὲ μὴ ἔφαγον, δύο ὑποπεσόντες ἔτη, τῷ ἑξῆς κοινωνησάτωσαν χωρὶς προσφορᾶς, ἵνα τὸ τέλειον τῇ τεθραετίᾳ λάβωσιν· ὡς δὲ Ἐπίσκοπος ἐξουσίαν ἔχειν τὸν τρόπον τῆς ἐπιστροφῆς δοκιμάσαντας φιλανθρωπεύεσθαι, ἢ πλείονα προσιθέναι χρόνον· πρὸ πάντων δὲ καὶ ὁ προάγων βίος, καὶ ὁ μετὰ ταῦτα, ἐξεταζέσθω. καὶ ὅτως ἡ φιλανθρωπία ἐπιμετρείσθω.

ς'. Περὶ τῶν ἀπειλῇ μόνον ἐξαύτων κολάσεως καὶ ἀφαιρέσεως ὑπαρχόντων ἢ μετανοίας, καὶ θυσάντων, καὶ μέχρι τῆς παρόντος καιροῦ μὴ μετανοησάντων, μὴ δὲ ἐπιστρεψάντων· νῦν δὲ παρὰ τὸν καιρὸν τῆς Συνόδυ προσελθόντων, καὶ εἰς διάνοιαν τῆς ἐπιστροφῆς

γενο-

γενομένων· ἔδοξε μέχρι τῆς μεγάλης ἡμέρας εἰς ἀκρόασιν δεχθῆναι, καὶ μετὰ τὸν μεγάλην ἡμέραν ὑποπεσεῖν ἔτη. καὶ μετὰ ἄλλα δύο ἔτη, κοινωνῆσαι χωρὶς προσφορᾶς· καὶ ὅτως ἐλθεῖν ἐπὶ τὸ τέλειον, ὥστε τὸν πᾶσαν ἐξαετίαν πληρῶσαι· εἰ δέ τινες πρὸ τῆς Συνόδυ ταύτης ἐδέχθησαν εἰς μετάνοιαν, ἀπ' ἐκείνυ τοῦ χρόνυ λελόγισται αὐτοῖς τὸν ἀρχὸν τῆς ἐξαετίας· εἰ μέντοι κίνδυνος καὶ θανάτου προσδοκία ἐν νόσῳ ἢ ἄλλης τινὸς προφάσεως συμβαίη, πῶς ἐπὶ ὅρῳ δεχθῆναι.

ζ'. Περὶ τῶν συνεσταθέντων τὰ ἑορτῇ ἐθνικῇ τὰ τόπῳ ἀφωρισμένῳ, τοῖς ἐθνικοῖς ἴδια βρώματα ἐπικομισαμένων καὶ φαγόντων. ἔδοξε διέτιαν ὑποπεσόντας δεχθῆναι· τὸ δὲ εἰ χρὴ, μετὰ τῆς προσφορᾶς ἕκαστον τῶν Ἐπισκόπων δοκιμᾶσαι, καὶ τὸν ἄλλον βίον ἐφ' ἑκάστυ ἀξιῶσαι.

η'. Οἱ δὲ πρότερον καὶ ὕστερον θύσαντες μετὰ βίας, τεθραετίαν ὑποπεσέτωσαν. δύο δὲ ἔτη, χωρὶς προσφορᾶς κοινωνησάτωσαν, καὶ τῷ ἑβδόμῳ, τελείως δεχθήτωσαν.

θ'. Ὅσοι δὲ μὴ μόνον ἀπέστησαν, ἀλλὰ καὶ ἐπανέστησαν καὶ ἠγώνισαν ἀδελφοὺς, καὶ αἴτιοι ἐγένοντο τοῦ ἀγωνασθῆναι· ἔτι ἔτη μὲν ὕστερα, τὸν τῆς ἀκροάσεως δεξάσθωσαν τόπον· αὐτὸ δὲ ἄλλη ἐξαετία, τὸν τῆς ὑποπτώσεως· ἄλλον δὲ αὐτὸν, κοινωνησάτωσαν χωρὶς προσφορᾶς· ἵνα τὸν δεκαετίαν πληρώσαν-

τες,

τες, τῆ τελείᾳ μεταχωσιν· εἰ μέντοι πάντῳ τῷ χρόνῳ, καὶ τὸν ἄλλον αὐτῶν ἐπιτηρεῖσθαι βίον.

ια. Διάκονοι, ὅσοι καθίσανται παρ αὐτῶ τῶ καπάσασιν, εἰ ἐμαρτύραντο καὶ ἔφασαν χρῆναι γαμῆσαι, μὴ δυνάμενοι ἄπως μένειν· ἔπειτα μετὰ ταῦτα γαμήσαντες, ἔσωσαν εἰ τῇ ὑπηρεσίᾳ διὰ τὸ ἐπιτραπῆναι αὐτοὺς ὑπὸ τῆ Ἐπισκόπε· πάντα δὲ, εἴτινες σιωπήσαντες καὶ καταδεξάμενοι εἰ τῇ χειροτονίᾳ μένειν ἄπως, μετὰ ταῦτα ἦλθον ἐπὶ γάμον, πεπαῦσθαι αὐτοὺς τῆς διακονίας.

ιά. Τὰς μνησθείσας κόρας, καὶ μετὰ ταῦτα ὑπό ἄλλων ἁρπαγείσας, ἔδοξεν ἀποδιδόσθαι τοῖς προμνησθεισαμένοις, εἰ καὶ βίαν ὑπ' αὐτῶν πάθοιεν.

ιβ'. Τὸς πρὸ τῆ βαπτίσματος τεθνηκότας, καὶ μετὰ ταῦτα βαπτισθέντας, ἔδοξεν εἰς τάξιν προάγεσθαι, ὡς ὑπολειπομένους.

ιγ'. Χωρεπισκόπους μὴ δεῖναι, πρεσβυτέρους ἢ Διακόνους χειροτονεῖν· ἀλλὰ μὴ δὲ Πρεσβυτέρους πόλεως, χωρὶς τῆ ἐπιτραπῶναι ὑπὸ τῆ Ἐπισκόπε μετὰ γραμμάτων εἰ ἑτέρᾳ παροικίᾳ.

ιδ'. Τὸς εἰ κλήρῳ Πρεσβυτέρους ἢ Διακόνους ὄντας, καὶ ἀπεχομένους κρεῶν, ἔδοξεν ἐφάπτεσθαι, καὶ ἄπως, εἰ βούλοιντο, κρατεῖν ἑαυτῶν. εἰ δὲ βούλοιντο, ὡς μὴ δὲ τὰ μετὰ κρεῶν βαλλόμενα λάχανα ἔσθιειν· καὶ εἰ μὴ ὑπείκοιεν τῷ Κανόνι, πεπαῦσθαι αὐτοὺς τῆς τάξεως.

ιέ. Πε-

Περὶ τῆς διαφερόντων τῷ Κυριακῷ. ὅσα Ἐπισκόπε μὴ ὄντος Πρεσβύτεροι ἐπώλησαν, ἀνακαλεῖσθαι τὸ κυριακόν· εἰ δὲ τῇ κρίσει τῆ Ἐπισκόπε εἶναι, εἴπερ προσήκει ἀπολαβεῖν τῶ τιμῶ. εἴτε καὶ μή, διὰ τὸ πολλάκις τῶ εἴσοδον τῆς πεπραγμένων ἀποδεδωκέναι αὐτοῖς πάντως πλείονα τῶ τιμῶ. ιε.

Περὶ τῆς ἀλογησαμένων ἢ καὶ ἀλογουμένων· ὅσοι, πεὶν εἰκοσαετεῖς γενέσθαι, ἥμαρτον, πάντε καὶ δέκα ἔτεσιν ὑποπεσόντες, κοινωνίας τυγχανέτωσαν τῆς εἰς τὰς προσευχάς. εἶτα, εἰ τῇ κοινωνίᾳ διατελέσαντες ἔτη πάντε, τότε καὶ τῆς προσφορᾶς ἐφαπτέσθωσαν. ἐξετάζεσθω δὲ αὐτῶν καὶ ὁ εἰ τῇ ὑποπτώσει βίος· καὶ ἄπως τυγχανέτωσαν τῆς φιλανθρωπίας. εἰ δέτινες κατακόρως εἰ τοῖς ἁμαρτήμασι γεγόνασι, τῶ μακρᾷ ἐχέτωσαν ὑπόπτωσιν· ὅσοι δὲ ὑπερβάντες τῶ ἡλικίαν ταύτῃ, καὶ γυναῖκας ἔχοντες περιπεπτώκασι τῷ ἁμαρτήματι, πάντε καὶ εἴκοσι ἔτι ὑποπεσέτωσαν, καὶ κοινωνίας τυγχανέτωσαν τῆς εἰς τὰς προσευχάς· εἶτα, ἐκπελέσαντες πέντε ἔτη εἰ τῇ κοινωνίᾳ τῆς εὐχῆς, τυγχανέτωσαν τῆς προσφορᾶς· εἰ δέτινες καὶ γυναῖκας ἔχοντες, καὶ ὑπερβάντες τὴν πεντηκονταετῆ χρόνον ἥμαρτον, ἐπὶ τῇ ἤδη τῆ βίῳ τυγχανέτωσαν τῆς κοινωνίας. ιγ'.

Τὸς ἀλογησαμένους καὶ λεπρὸς ὄντας, ἤτοι λεπρώσαντας, πῶς προσέταξαν ἡ ἁγία Συνόδος, εἰς τὸς χειμαζομένους εὔχεσθαι. ιζ.

ιή. Εἴ τινες Ἐπίσκοποι καθαιρεθέντες, καὶ μὴ δεχθέντες ὑπὸ τῆς παροικίας ἐκείνης, εἰς ἣν ὠνομάθησαν, ἑτέραις βέλοιντο παροικίαις ἐπικεῖσθαι, καὶ βιάζεσθαι τοὺς καθεσῶτας, καὶ σάσεις κινεῖν κατ' αὐτῶν· τούτους ἀφορίζεσθαι. ἐὰν μέντοι βέλοιντο εἰς τὸ πρεσβύτερον καθέζεσθαι, ἔνθα ἦσαν πρότερον Πρεσβύτεροι, μὴ ἀποβάλλεσθαι αὐτοὺς τῆς τιμῆς· ἐὰν δὲ διαστασιάζωσι πρὸς τοὺς καθεσῶτας ἐκεῖ Ἐπισκόπους, ἀφαιρεῖσθαι αὐτοὺς, καὶ τιμᾶν τοὺς τιμίους τοῦ πρεσβυτερίου, καὶ γίνεσθαι αὐτοὺς ἐκκλησίας.

ιθ'. Ὅσοι παρθενίαν ἐπαγγελλόμενοι, ἀθετοῦσι τὴν ἐπαγγελίαν, καὶ τῶν γάμων ὅρον ἐκπληρώσαντες· τοὺς μέντοι σωνερχομένας παρθένους τισὶν, ὡς ἀδελφὰς, ἐκωλύσαμεν.

κ'. Εἰ δέ τινος γυνὴ μοιχαθῇ, ἢ μοιχάσῃ τις, καὶ ἐπὶ ἔτεσιν δοκεῖ αὐτὸν τοῦ τελείου τυχεῖν, καὶ τοὺς βαθμοὺς τοὺς προάγοντας.

κά. Περὶ δὲ γυναικῶν τῶν ἐκπορνευσασῶν, καὶ αἱρετῶν τὰ γενόμενα, καὶ σπαζόντων φθόγγα ποιεῖν· ὁ μὲν πρότερος ὅρος, μέχρις ἐξόδου ἐκώλυσεν, καὶ οὕτω σωτίθεται. φιλανθρωπότερον δέ τι δίροντες, ὡρίσαμεν δεκαετῆ χρόνον καὶ τοὺς βαθμοὺς τοὺς ὡρισμένους.

κβ'. Περὶ ἐκστάσεων φόνων ὑποπιπτόντων μὲν, τοῦ δὲ τελείου ἐν τῷ τέλει τοῦ βίου καθαξιοῦσθαι.

κγ'. Ἐπὶ ἀκουσίων φόνων. ὁ μὲν πρότερος ὅρος ἐν-

ἐπιτιμίᾳ κελεύει τοῦ τελείου μεταχεῖν, καὶ τοὺς ὡρισμένους βαθμούς· ὁ δὲ δεύτερος, τὸν πενταετῆ χρόνον πληρώσαι.

κδ'. Οἱ καταμανθάνοντες καὶ τὰς συνηθείας τῶν ἐθνῶν ἐξακολουθοῦντες, ἢ εἰσάγοντές τινας εἰς τοὺς ἑαυτῶν οἴκους ἐπὶ αἱρέσει φαρμακειῶν ἢ καὶ καθάρσει ὑπὸ τὸν Κανόνα πίπτουσαν τῆς πενταετίας καὶ τοὺς βαθμοὺς ὡρισμένους. ἔτη ἕξ, ὑποπτώσεως· καὶ δύο ἔτη ἐν τῇ εὐχῇ χωρὶς προσφορᾶς.

κέ. Μνησθησόμενός τις κόρῃ, προσεφθάρη τῇ ἀδελφῇ αὐτῆς, ὡς καὶ ἐπιφορέσαι αὐτῇ, ἔγημεν δὲ τὴν μνηστὴν μετὰ ταῦτα, ἡ δὲ φθαρεῖσα ἀπήγξατο· οἱ συνειδότες ἐκελεύσθησαν δεκαετίᾳ δεχθῆναι εἰς τοὺς σωζομένους καὶ τοὺς ὡρισμένους βαθμούς.

ΠΕΡΙ τῆς ΕΝ ΝΕΟΚΑΙΣΑΡΕΙΑ, ΑΓΙΑΣ ΣΥΝΟΔΟΥ,

Καμόμες τῶν ἐμ Νεοκαισαρείᾳ Συμελθόμτων Ἁγίων κ, Μακαρίων Πατέρων. οἵ τιμες δλτεροι μέμεισι τῶν ἐμ Ἀγκύρᾳ, τῶν δὲ ἐμ Νικαίᾳ προγεμέςεροι. διὰ δὲ Σεβασμιότητα προτέτακται Αὐτῶμ ἡ ἐμ Νικαίᾳ. γέγομε δὲ ἐμ Νεοκαισαρείᾳ τῇ κτ πόμτομ.

α. ΠΡεσβύτερος ἐὰν γήμῃ, τῆς τάξεως αὐτὸν μετατίθεσθαι. ἐὰν δὲ πορνεύσῃ, ἢ μοιχεύσῃ, ἀφωρίσθαι αὐτὸν πέλεον, κ ἄγεσθαι αὐτὸν εἰς μετάνοιαν.

β. Γυνὴ ἐὰν γήμηται δύο ἀδελφοῖς, ἀφωρίσθω μέχρι θανάτου, πλὴν ἐν τῷ θανάτῳ διὰ τὴν φιλανθρωπίαν εἰπεῖν, ὡς ὑγιάσασα λύσει τὸν γάμον, ἔξει τὴν τὸν μετάνοιαν. ἐὰν δὲ τελευτήσῃ ἡ γυνὴ ἐν πιστῷ γάμῳ ὄσα, ἤπερ ὁ ἀνὴρ, δυχερὴς τῷ μείναντι ἡ μετάνοια.

γ. Περὶ τῶν πλείοις γάμοις περιπιπτόντων, ὁ μὲν χρό-

χρόνος σαφὴς ὁ ὡρισμένος, ἡ δὲ ἀναστροφὴ καὶ ἡ πίστις αὐτῶν σωτέρνει τὸν χρόνον.

δ. Ἐὰν προδηταί τις ἐπιθυμῆσαι γυναικός, συγκαθεσθῆσαι μετ' αὐτῆς, μὴ ἐλθῇ δὲ εἰς ἔργον αὐτῆς ἡ ἐνθύμησις· φαίνεται, ὅτι ὑπὸ τῆς ἀσθενείας ἐρρύθη.

ε. Κατηχούμενος ἐὰν εἰσερχόμενος εἰς συναγωγὴν ἐν τῇ τῶν κατηχουμένων τάξει στήκῃ· ἔτος δὲ ἁμαρτάνων, ἐὰν μὲν γόνυ κλίνων, ἀκροάσθω μηκέτι ἁμαρτάνων· ἐὰν δὲ μὴ ἀκροώμενος ἔτι ἁμαρτάνῃ, ἀφωρίσθω.

ς. Περὶ κυοφορούσης, ὅτι δεῖ φωτίζεσθαι ὁπότε βέλεται· ὑδὲν γὰρ ἐν πάτῳ κοινωνεῖ ἡ τίκτουσα, τῶν τικτομένῳ· διὰ τὸ, ἑκάστε ἰδίαν τὴν προαίρεσιν τὴν ἐπὶ τῇ ὁμολογίᾳ δείκνυσθαι.

ζ. Πρεσβύτερον εἰς γάμους διγαμούντων μὴ ἐστιᾶσθαι· ἐπεὶ μετάνοιαν αἰτοῦντος τὸ διγάμε, τίς ἔσαι ὁ πρεσβύτερος ὁ διὰ τῆς ἑστιάσεως συγκαταθέμενος τοῖς γάμοις;

η. Γυνή τινος μοιχευθεῖσα λαϊκὸς ὄντος, ἐὰν ἐλέγχθῃ φανερῶς, ὁ πιστὸς εἰς ὑπηρεσίαν ἐλθεῖν ε δύναται. ἐὰν δὲ μὴ μετὰ τὴν χειροτονίαν μοιχευθῇ, ὀφείλει ἀπολῦσαι αὐτήν. ἐὰν δὲ συζῇ, ε δύναται ἔχεσθαι τῆς ἐγχειρισθείσης αὐτῷ ὑπηρεσίας.

θ. Πρεσβύτερος, ἐὰν προημαρτηκὼς σώματι προαχθῇ, κ ὁμολογήσῃ, ὅτι ἥμαρτεν πρὸ τῆς χειροτονίας· μὴ προσφερέτω, μενέτω δὲ τοῖς λοιποῖς, διὰ τὴν ἄλλην ασθένειαν. τὰ γὰρ λοιπὰ ἁμαρτήματα ἔφα-

σαν οἱ πολλοὶ κ᾽ τὴν χειροθεσίαν ἀφιέσαι. ἐὰν δὲ αὐτὸς μὴ ὁμολογῇ, ἐλεγχθῆναι δὲ φανερῶς μὴ δυνηθῇ, ἐπ᾽ αὐτῷ ἐκείνῳ ποιεῖσθαι τὴν ἔξοδον.

ι'. Ὁμοίως κ᾽ Διάκονος σὺν τῷ αὐτῷ ἁμαρτήματι πεσέτω, τὴν τῆς ὑπηρέτης τάξιν ἐχέτω.

ια'. Πρεσβύτερος πρὸ τῆς ξ ἑτῶν μὴ χειροτονείσθω. ἐὰν κὰ πάνυ ἡ ὁ ἄνθρωπος ἄξιος, ἀλλὰ ἀποτρείσθω. ὁ γὰρ Κύριος Ἰησοῦς Χριστὸς σὺν τῷ ξ ἑτει ἐβαπτίσθη, κ᾽ ἤρξατο διδάσκειν.

ιβ'. Εἰ δὲ τοσοῦτοι φωτισθῆ, ὡς Πρεσβύτερον ἄγεσθαι ἀδύνατα. οὐκ ἐκ προαιρέσεως γὰρ ἡ πίστις αὐτῷ, ἀλλ᾽ ἐξ ἀνάγκης· εἰ μὴ πάχα διὰ τὴν μετὰ ταῦτα αὐτῷ σπουδὴν κ᾽ πίστιν, κ᾽ διὰ σπάνιν ἀνθρώπων.

ιγ'. Ἐπιχώριοι Πρεσβύτεροι σὺν τῷ κυριακῷ τῆς πόλεως προσφέρειν ἀδύνανται, παρόντος Ἐπισκόπου ἢ Πρεσβυτέρων πόλεως, ἀπεμπὸν ἄρτον δίδοναι σὺν δίκῃ, οὐδὲ ποτήριον· ἐὰν δὲ ἀπῶσι, κὰ εἰς δίκην κληθῆ μόνος, δίδωσιν.

ιδ'. Οἱ δὲ χωρεπίσκοποι, εἰσὶ μὲν εἰς τύπον τῆς ἑβδομήκοντα, ὡς δὲ συλλειτουργοὶ, διὰ τὴν σπουδὴν εἰς τὰς παροικίας, προσφέρειν τιμώμενοι.

ιε'. Διάκονοι ἑπτὰ ὀφείλουσιν εἶναι κ᾽ τὸν Κανόνα, ἂν πάνυ μεγάλη ᾖ ἡ πόλις. πιθέσθω δὲ ἀπὸ τῆς βίβλου τῆς πράξεων.

ΠΕ-

ΠΕΡΙ ΤΗΣ ΕΝ ΓΑΓΓΡΑ ΑΓΙΑΣ ΣΥΝΟΔΟΥ,

Καμόμες τῆς ἐμ Γάγγρᾳ Συνελθόντων Ἁγίων Πατέρων· οἵτινες μετὰ τὴν ἐμ Νικαίᾳ Σύνοδον Ἐξετέθησαν. ἐμ τῇ μητροπόλει τῆς παμφλαγόνων. Κυρίοις τιμιωτάτοις ἐμ Ἁρμενίᾳ Συλλειτουργοῖς· Εὐσέβιος, Αἰλιανὸς, Εὐγένιος, Ὀλύμπιος, Βιθυνικὸς, Γρηγόριος, Φίλιππος, Πάππος, Εὐλάλιος, Ὑπάτιος, Προαιρέσιος, Βασίλειος, Βάσας, οἱ Συνελθόντες εἰς τὴν κτ Γάγγραν Ἁγίαν Σύνοδον, ἐν Κυρίῳ Χαίρειν.

Ἐπειδὴ συνελθοῦσα ἡ ἁγιωτάτη Σύνοδος τῆς Ἐπισκόπων σὺν τῇ κῇ Γάγγρᾳ Ἐκκλησίᾳ διά τινας Ἐκκλησιαστικὰς χρείας ζητουμένων κ᾽ τῆς κατ᾽ Εὐσάθιον, εὗρεν πολλὰ ἀθέσμως γινόμενα ὑπὸ τῶν αὐτῶν τῆς περὶ Εὐσάθιον· ἀναγκαίως ὤφειλεν, κ᾽ πᾶσι φανερὸν ποιῆσαι ἐπιθύμησεν εἰς αἵρεσιν τῆς

ὑπ' αὐτῆ καπῶς γινομένων. καὶ γὰρ ἐν τῷ καθαιμεμφεσθαι αὐτὰς τὸν γάμον, καὶ ὑποτίθεσθαι, ὅτι ὐδεὶς τῆς σὺν γάμῳ ὄντων, ἐλπίδα παρὰ Θεῷ ἔχει. πολλαὶ γυναῖκες ὕπανδροι ἀπατηθεῖσαι, τῆς ἑαυτῶν ἀνδρῶν ἀνεχώρησαν, καὶ ἄνδρες, τῆς ἰδίων γυναικῶν. εἶτα σὺν τῷ μεταξὺ μὴ δυνηθεῖσαι ἐγκρατεῖν, ἐμοιχεύθησαν. καὶ διὰ τοιαύτην ὑπόθεσιν, ὠνειδίσθησαν. ἀξίσκοντο δὲ καὶ ἀναχωρήσεις ἐκ τῆς οἴκων τῶ Θεῶ, καὶ τῆς Ἐκκλησίας ποιούμενοι, καταφρονητικῶς διακείμενοι καὶ τῆς Ἐκκλησίας καὶ τῆς σὺν τῇ Ἐκκλησίᾳ· καὶ ἰδίας συνάξεις ποιούμενοι, καὶ Ἐκκλησιάσεις, καὶ διδασκαλίας ἑτέρας, καὶ τὰ ἄλλα κῆ τῆς Ἐκκλησιῶν καὶ κῆ τῶν σὺν τῇ Ἐκκλησίᾳ ξένα ἀμφιάσματα ἐπὶ καταπτώσει τῆς κοινότητος τῶν ἀμφιασμάτων συνάγοντες· καρποφορίας τε τὰς Ἐκκλησιαστικὰς τὰς αὐξηθεν διδομένας τῇ Ἐκκλησίᾳ, ἑαυτοῖς καὶ τοῖς συν αὐτοῖς, ὡς ἁγίοις, τὰς διαδόσεις ποιούμενοι. καὶ δῆλοι διατοτῶν ἀναχωροῦντες, καὶ διὰ τὸ ξένου ἀμφιάσματος καταφρόνησιν κῆ τῶν διατοτῶν ποιούμενοι. καὶ γυναῖκες παρὰ τὸ συνήθες αὐτὶ ἀμφιασμάτων γυναικείων, ἀνδρεῖα ἀμφιάσματα ἀναλαμβάνουσαι· καὶ ἐν τούτων οἰόμεναι δικαιοῦσθαι· πολλαὶ δὲ καὶ ἀποκείρονται προφάσει θεοσεβείας τὴν φύσιν τῆς κόμης τῆς γυναικείας. νηστείας τε σὺν Κυριακῇ ποιούμενοι, καὶ τῆς ἁγίας τῆς ἐλευθέρας ἡμέρας καταφρονοῦντες, καὶ τῶν νηστειῶν τῶν σὺν ταῖς Ἐκκλησιαστικαῖς τὰς αὐξηθεν διδομένας τῇ Ἐκκλησίᾳ, ἑαυτοῖς καὶ τοῖς συν αὐτοῖς, ὡς ἁγίοις, τὰς διαδόσεις ποιούμενοι. καὶ δῆλοι διατοτῶν ἀναχωροῦντες, καὶ διὰ τὸ ξένου ἀμφιάσματος καταφρόνησιν κῆ τῶν διατοτῶν ποιούμενοι. καὶ γυναῖκες παρὰ τὸ συνήθες αὐτὶ ἀμφιασμάτων γυναικείων, ἀνδρεῖα ἀμφιάσματα ἀναλαμβάνουσαι· καὶ ἐν τούτων οἰόμεναι δικαιοῦσθαι· πολλαὶ δὲ καὶ ἀποκείρονται προφάσει θεοσεβείας τὴν φύσιν τῆς κόμης τῆς γυναικείας. νηστείας τε σὺν Κυριακῇ ποιούμενοι, καὶ τῆς ἁγίας τῆς ἐλευθέρας ἡμέρας καταφρονοῦντες, καὶ τῶν νηστειῶν τῶν σὺν ταῖς Ἐκ-

κλη-

κλησιαις παραμένων ὑπερφρονοῦντες, καὶ ἐσθίοντες· καί τινες αὐτῶν μεγαλήψεις κρεῶν βδελυττόμενοι. καὶ σὺν οἴκοις γεγαμηκότων δίχας ποιεῖσθαι μὴ βουλόμενοι, καὶ γινομένων δίχων καταφρονοῦντες· καὶ πολλάκις προσφορῶν ἐν αὐταῖς ταῖς οἰκίαις τῶν γεγαμηκότων γινομένων μὴ μεταλαμβάνοντες· καὶ Πρεσβυτέρων γεγαμηκότων ὑπερφρονοῦντες, καὶ τῶν λειτουργιῶν τῶν ὑπ' αὐτῶν γινομένων μὴ ἀπτόμενοι· καὶ τῆς ἐκεῖ συνερχομένων καὶ λειτουργούντων καταγινώσκοντες, καὶ πλησίον δὲ τῆς μὴ πάντων τῶν ὑπαρχόντων ἀναχωρούντων, ὡς ἐλπίδα παρὰ Θεῷ μὴ ἐχόντων· καὶ πολλὰ ἄλλα, ἃ ἀειθυμῆσαι οὐδεὶς ἂν δυνηθείη· ἕκαστος γὰρ αὐτῶν, ἐπειδὴ τῷ Κανόνος τῷ Ἐκκλησιαστικῷ ἐξῆλθεν, ὥσπερ νόμους ἰδιάζοντας ἔχει· ὅτε γὰρ κοινὴ γνώμη ἑαυτῶν λοιπῶν ἐγένετο· ἀλλ' ἕκαστος, ὥσπερ ἂν ἐνεθυμήθη, τοῦτο προσέθηκεν ἐπὶ διαβολῇ τῆς Ἐκκλησίας καὶ ἑαυτῷ βλάβῃ. διὰ δὴ ταῦτα δυνάμεθα τὴν παραγινομένην ἐν Γάγγραις Ἁγία Σύνοδος καταψηφίσασθαι αὐτῶν καὶ ὅρους ἐκθέσθαι, ἐκτὸς αὐτὰς εἶναι τῆς Ἐκκλησίας· εἰ δὲ μεταγνοῖεν καὶ ἀναθεματίζοιεν ἕκαστον τούτων τῆς καπῶς λεχθέντων, δικαὶς αὐτὰς γίνεσθαι· καὶ διὰ τοῦτο ἐξέθετο ἡ Ἁγία Σύνοδος ἕκαστον, ὃν ὀφείλουσιν ἀναθεματίσαντες δέχθηναι. εἰ δέ τις μὴ πειθοίη τοῖς λεχθεῖσιν, ὡς αἱρετικὸν αὐτὸν ἀναθεματίζεσθαι, καὶ εἶναι ἀκοινώνητον καὶ κεχωρισμένον τῆς Ἐκκλησίας. καὶ δεήσει τὰς Ἐπισκόπους

ἐπὶ

ἐπὶ πάντων τῶν διεστομένων παρ' αὐτοῖς, πιστὸν παραφυλάξαθαι.

ά. Εἴ τις τὸν γάμον μέμφοιτο, καὶ τοὺς καθάρσαν μετὰ τῆς ἀνδρὸς αὐτῆς, ὅσαν πιστὴν καὶ δίλαβῆ, βδελύσσοιτο ἢ μέμφοιτο ὡς αὖ μὴ δυναμένην εἰς βασιλείαν εἰσελθεῖν, ἀνάθεμα ἔστω.

β'. Εἴ τις ἐθνίσσα κρέα χωρὶς αἵματος, καὶ εἰδωλοθύτα καὶ πνικτὰ μετ' δίλαβείας καὶ πίστεως, κατακείνοι, ὡς αὖ διὰ τὸ μεταλαμβάνειν, ἐλπίδα μὴ ἔχοντα, ἀνάθεμα ἔστω.

γ'. Εἴ τις δοῦλον προφάσει θεοσεβείας διδάσκοι καταφρονεῖν δεσπότου καὶ ἀναχωρεῖν τῆς ὑπηρεσίας, καὶ μὴ μετ' δινοίας καὶ πάσης τιμῆς τῷ ἑαυτοῦ δεσπότῃ δξυπηρετεῖσθαι, ἀνάθεμα ἔστω.

δ'. Εἴ τις διακείνοιτο παρὰ Πρεσβυτέρου γεγαμηκότος, ὡς μὴ χρῶαι λειτουργήσαντος αὐτοῦ προσφορᾶς μεταλαμβάνειν, ἀνάθεμα ἔστω.

έ. Εἴ τις διδάσκοι τὸν οἶκον τοῦ Θεοῦ δικαθάρητον εἶναι, καὶ τὰς ἐν αὐτῷ συνάξεις, ἀνάθεμα ἔστω.

ς'. Εἴ τις παρὰ τῷ Ἐκκλησίαν ἰδίᾳ Ἐκκλησιάζοι, καὶ καθαρῶν τῆς Ἐκκλησίας, τὰ τῆς Ἐκκλησίας ἐθέλοι πράττειν μὴ συνόντος τοῦ Πρεσβυτέρου κατὰ γνώμην τοῦ Ἐπισκόπου, ἀνάθεμα ἔστω.

ζ'. Εἴ τις καρποφορίας Ἐκκλησιαστικὰς ἐθέλοι λαμβάνειν, ἢ διδόναι ἔξω τῆς Ἐκκλησίας παρὰ γνώμην τοῦ Ἐπισκόπου, ἢ τῶν ἐγκεχειρισμένων τὰ τοιαῦτα,

τα, καὶ μὴ μετὰ γνώμης αὐτοῦ ἐθέλοι πράττειν, ἀνάθεμα ἔστω.

η. Εἴ τις διδοῖ ἢ λαμβάνοι καρποφορίαν παρεκτὸς τοῦ Ἐπισκόπου, ἢ τοῦ ἐπιτεταγμένου εἰς οἰκονομίαν δι-ποιΐας, καὶ ὁ διδούς, καὶ ὁ λαμβάνων, ἀνάθεμα ἔστω.

θ'. Εἴ τις παρθενεύοι ἢ ἐγκρατεύοιτο, ὡς αὖ βδελυττόμενος τὸν γάμον ἀναχωρήσας, καὶ μὴ διὰ τοῦ, τὸ καλὸν μὴ ἅγιον τῆς παρθενίας, ἀνάθεμα ἔστω.

ι. Εἴ τις τῶν παρθενευόντων διὰ τὸν Κύριον, κατεπαίροιτο τῶν γεγαμηκότων, ἀνάθεμα ἔστω.

ιά. Εἴ τις καταφρονοίη τῶν ἐκ πίστεως ἀγάπας ποιούντων, καὶ διὰ τιμιότητα τοῦ Κυρίου συγκαλούντων τοὺς ἀδελφούς, καὶ μὴ ἐθέλοι κοινωνεῖν, ταῖς κλήσεσι, διὰ τὸ, δξετελίζειν τὸ γινόμενον, ἀνάθεμα ἔστω.

ιβ'. Εἴ τις ἀνδρῶν διὰ νομιζομένην ἄσκησιν περιβολαίῳ χρῆται, καὶ ὡς αὖ ἐκ τοῦ τοῦ δικαιοσύνου ἔχων, καταψηφίσοιτο τῶν μετὰ δίλαβείας τοὺς βύρσας φορούντων, καὶ τῇ ἄλλῃ κοινῇ καὶ ἐν συνηθείᾳ ὕσῃ ἐθνῆτι κεχρημένων, ἀνάθεμα ἔστω.

ιγ'. Εἴ τις γυνὴ διὰ νομιζομένην ἄσκησιν μεταβάλλοιτο ἀμφίασμα, καὶ ἀντὶ τοῦ εἰωθότος γυναικείου ἀμφιάσματος, ἀνδρεῖον ἀναλάβοι, ἀνάθεμα ἔστω.

ιδ'. Εἴ τις γυνὴ καταλιμπάνοι τὸν ἄνδρα, καὶ ἀναχωρεῖν ἐθέλοι, βδελυττομένη τὸν γάμον, ἀνάθεμα ἔστω.

ιέ. Εἴ τις καταλιμπάνῃ τὰ ἑαυτοῦ τέκνα, καὶ μὴ τεκνοζο-

νοξοφῇ, καὶ τὸ ὅσον ἑαυτῷ πρὸς θεοσέβειαν τῷ προσήκουσαν αὐάγῃ, ἀλλὰ προφάσει τῆς ἀσκήσεως ἀμελοίη, ἀνάθεμα ἔσω.

ις'. Εἴ τινα τέκνα γονέων, μάλισα πιστῶν, ἀναχωροίη προφάσει θεοσεβείας, καὶ μὴ τῷ καθήκουσαν τιμὴν τοῖς γονεῦσιν ἀπονέμοι, προτιμωμένης δηλονότι παρ' αὐτοῖς τῆς θεοσεβείας, ἀνάθεμα ἔσω.

ιζ'. Εἴ τις γυναικῶν διὰ νομιζομένῳ ἄσκησιν ἀποκήροιτο τὰς κόμας, ἃς ἔδωκεν ὁ Θεὸς εἰς ὑπόμνησιν τῆς ὑποταγῆς. ὡς ἀναλύουσα τὸ πρόσαγμα τῆς ὑποταγῆς, ἀνάθεμα ἔσω.

ιή. Εἴ τις διὰ νομιζομένῳ ἄσκησιν ἐν τῇ Κυριακῇ νηστεύοι, ἀνάθεμα ἔσω.

ιθ'. Εἴ τις τῆς ἀσκημένων, χωρὶς σωματικῆς ἀνάγκης ὑπεριφανεύοιτο, καὶ τὰς παραδεδομένας νηστείας εἰς τὸ κοινὸν καὶ φυλασσομένας ὑπὸ τῆς Ἐκκλησίας παραλύοι, ἀποκυρῶντος ἐν αὐτῷ τελείῳ λογισμῷ, ἀνάθεμα ἔσω.

κ'. Εἴ τις αἰτιῶτο ὑπερηφάνῳ διαθέσει κεχρημένος, καὶ βδελυσσόμενος τὰς σωάξεις τῆς μαρτύρων, ἢ τὰς ἐν αὐτοῖς γινομένας λειτργίας, καὶ τὰς μνήμας αὐτῶν, ἀνάθεμα ἔσω.

κά. Ταῦτα δὲ γράφομεν, ἵνα ἐκκόπτοντες τὰς ἐν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ καὶ τὰς γραφὰς ἀσκεῖσθαι βυλομένους· ἀλλὰ τὰς λαμβάνοντας τῷ ὑπόθεσιν τῆς ἀσκήσεως εἰς ὑπερηφανίαν, καὶ τῆς ἀφελέσερον βιώντων

ἐπαι-

ἐπαιρομένους τε καὶ παρὰ τὰς γραφὰς καὶ τοὺς Ἐκκλησιαστικοὺς Κανόνας καινισμοὺς εἰσάγοντας· ἡμεῖς τοιγαροῦν καὶ παρθενίαν μετὰ ταπεινοφροσύνης θαυμάζομεν· καὶ ἐγκράτειαν μετὰ σεμνότητος καὶ θεοσεβείας γινομένην ἀποδεχόμεθα· καὶ ἀναχώρησιν τῆς ἐγκοσμίων πραγμάτων μετὰ ταπεινοφροσύνης ἀποδεχόμεθα· καὶ γάμου σωοίκησιν σεμνῶ τιμῶμεν. καὶ πλοῦτον μετὰ δικαιοσύνης καὶ δαπάνας, οὐκ ἐξουθενοῦμεν· καὶ λιτότητα καὶ τέλειαν ἀμφιασμάτων, δι' ἐπιμέλειαν μόνον τοῦ σώματος, ἀπεριέργον ἐπαινοῦμεν· τὰς δὲ ἐκλύσεις καὶ τρυφὰς ἐν τῇ ἐσθῆτι προόδους οὐκ ἀποδεχόμεθα· καὶ τοὺς οἴκους τοῦ Θεοῦ τιμῶμεν. καὶ τὰς Σιωόδους, τὰς ἐπ' αὐτοῖς, ὡς ἁγίας καὶ ἐπωφελεῖς, ἀποδεχόμεθα. οὐ συγκλείοντες τῷ δαιμονίῳ εἰς τοῖς οἴκοις, ἀλλὰ πάντα τόπον τὸν ἐπ' ὀνόματι τοῦ Θεοῦ οἰκοδομηθέντα τιμῶντες. καὶ τῷ εἰς αὐτῇ τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ Σιώοδον κοινῷ εἰς ὠφέλειαν τοῦ κοινοῦ, ἀποδεχόμεθα. καὶ τὰς καθ' ὑπερβολῇ διαποίας τῆς ἀδελφῶν τὰς καὶ τὰς παραδόσεις διὰ τῆς Ἐκκλησίας εἰς τοὺς πτωχοὺς γινομένας, μακαρίζομεν· καὶ πάντα σωελόντως εἰπεῖν, τὰ παραδοθέντα ὑπὸ τῆς θείων γραφῶν καὶ τῆς Ἀποστολικῶν παραδόσεων, εἰς τῇ Ἐκκλησίᾳ γίνεσθαι διαχόμεθα.

ΠΕ-

ΠΕΡΙ΄ ΤΗ΄Σ Ε΄Ν Α΄ΝΤΙΟΧΕΙ΄Α, ΣΤΝΟ΄ΔΟΥ.

Δ΄ω γεγόνασι ϖ̀ Α΄ντιοχείᾳ τῆς Συρίας Σύνοδοι· ἡ μὲν ἐπὶ Αὐρηλιανῦ βασιλέως Ρ΄ωμαίων ϗ Παύλυ Σαμοσατέως, ὃς αἱρεσιάρχης ἐγένετο, λέγων τὸν Κύριον ἡμῶν ϗ Θεὸν Ι΄ησῦν Χριστὸν ψιλὸν ἄνθρωπον· τὸν δὲ υἱὸν τῦ Θεῦ λόγον προφορικόν· παρῆσαν δὲ ϖ̀ τῇ Συνόδῳ ταύτῃ πολλοὶ ϗ ἄλλοι, ϗ ὁ Ἅγιος Γρηγόριος ὁ Θαυματουργός. ἠθροίσθησαν δὲ ἐν Α΄ντιοχείᾳ, ἧς Ε΄πίσκοπος ἦν ὁ Σαμοσατεύς· ὃν δὴ Παῦλον ταῖς παραινέσεσι, ϗ ταῖς ἀπὸ γραφῶν ἀποδείξεσι μὴ πείσαντες ἀποστῆναι ἀπὸ τῆς ϗ τῦ Κυρίυ βλασφημιῶν, κοινῇ ψήφῳ καθεῖλόντε ϗ ἀνεθεμάτισαν· ὁ δὲ τῦ θρόνυ τῆς ϖ̀ Α΄ντιοχείᾳ Ε΄κκλησίας ἐκ ἀφίστατο· διὸ οἱ τῆς Συνόδυ πρὸς τὸν Βασιλέα Αὐρηλιανὸν τὰ περὶ τούτυ ἀνέφερον· ϗ ὃς τῷ τῆς Ρώμης Ε΄κκλησίας Ε΄πισκόπῳ ϗ τοῖς κατ' αὐτὸν ἀρχιερεῦσι ἐκέλευσε τὰ ϗ τῦ Παύλυ ἐπισκέψασθαι, ϗ εἰ δικαίως καθήρηται, ἐκδιῶξαι αὐτὸν τῆς ϗ Χριστιανῶν Ε΄κκλησίας. ὃ ϗ γέγονε· ὡς ὁ τῦ Παμφίλυ Εὐσέβιος ἱστορεῖ.

Ε΄τέρα δὲ αὖθις συνέστη Σύνοδος ἐν Α΄ντιοχείᾳ ἐπὶ Κωνσταντίνυ τῦ Υἱῦ τῦ μεγάλυ Κωνσταντίνυ, μετὰ πέντε ἔτη τῆς τελευτῆς τῦ Πατρὸς αὐτῦ, ϗ Κανόνας ἔθετο· οἵτινές εἰσιν οὗτοι.

ΚΑ-

ΚΑΝΟ΄ΝΕΣ ΤΩ΄Ν Ε΄Ν Α΄ΝΤΙΟΧΕΙ΄Α, ΣΤΝΕΛΘΟ΄ΝΤΩΝ.

Α΄γίῳ ϗ Μακαρίῳ Πατέρῳ. Η΄ Α΄γία Εἰρηνικωτάτη Σύνοδος, ἡ ὑπὸ τῦ Θεῦ Συγκροτηθεῖσα ἐν Α΄ντιοχείᾳ τῇ ἐπαρχίας Συρίας Κοίλης, Φοινίκης, Παλαιστίνης, Α΄ραβίας, Μεσοποταμίας, Κιλικίας, Ι΄σαυρίας, τοῖς κατ' ἐπαρχίαν ὁμοψύχοις ϗ Ἁγίοις Συλλειτουργοῖς, ἐν Κυρίῳ χαίρειν.

Η΄ Χάρις ϗ ἡ ἀλήθεια Ι΄ησῦ Χριστῦ τῦ Κυρίυ ϗ Σωτῆρος ἡμῶν, ἐπισκεψαμένη τὴν Α΄ντιοχέων Ἁγίαν Ε΄κκλησίαν, ϗ ϗ τὸ αὐτὸ συνάπτουσα μετὰ ὁμονοίας ϗ συμφωνίας ϗ Πνεύματος εἰρηνικῦ· πολλὰ μὲν ϗ ἄλλα κατώρθωσεν, ἐν πᾶσι δὲ ϗ τοῦτο παρθοῖ ἐξ ὑποβολῆς τῦ ἁγίυ ϗ εἰρηνικῦ Πνεύματος· ἃ γὰρ καλῶς ἔχειν ἔδοξεν, μετὰ πλείνος σκέψεως ϗ ἐπιεικείσεως ὁμῦ πάντων ἡμῶν ϖ̀ Ε΄πισκόπων ϗ τὸ αὐτὸ συγκροτηθέντων ἐπὶ τῆς Α΄ντιοχείας ἐκ διαφόρων ἐπαρχιῶν, ἐπὶ τὴν ὑμετέραν γνῶσιν ἀνήνεγκαμεν, πεισθέντες τῇ τῦ Χριστῦ

χά-

χάειτι κὴ τῷ τῆς εἰρήνης ἁγίῳ Πνεύματι, ὅτι καὶ αὐτοὶ συμπνεύσητε, ὡς ἂν δυνάμει σωόντες ἡμῖν, κὴ ταῖς εὐχαῖς συνεργοῦντες, μᾶλλον δὲ λυόμενοι, ἡμῖν κὴ τῷ Ἁγίῳ Πνεύματι συμπαρόντες τὰ αὐτά τε ἡμῖν συμφωνήσαντες καὶ ὠφελήσαμενοι, κὴ τὰ ὀρθῶς δόξαντα ἐπισφραγιζόμενοι, κὴ βεβαιοῦντες τῇ τοῦ Ἁγίου Πνεύματος συμφωνίᾳ. εἰσὶ δὲ οἱ ὁρισθέντες Ἐκκλησιαστικοὶ Κανόνες οἱ ὑποτεταγμένοι.

ά. Πάντας τοὺς τολμῶντας παραλύειν τὸν ὅρον τῆς ἁγίας κὴ μεγάλης Συνόδου τῆς ἐν ΝΙΚΑΙΑ, συγκροτηθείσης ἐπὶ παρουσίᾳ τοῦ εὐσεβεστάτου βασιλέως Κωνσταντίνου, περὶ τῆς ἁγίας ἑορτῆς τοῦ σωτηρίου πάσχα, ἀκοινωνήτους κὴ ἀποβλήτους εἶναι τῆς Ἐκκλησίας, εἰ ἐπιμένοιεν φιλονεικότερον ἐνιστάμενοι πρὸς τὰ καλῶς δεδογμένα, κὴ ταῦτα εἰρήσθω περὶ τῶν λαϊκῶν· εἰ δέ τις τῶν προεστώτων τῆς Ἐκκλησίας Ἐπίσκοπος ἢ Πρεσβύτερος ἢ Διάκονος μετὰ τὸν ὅρον τοῦτον τολμήσειεν ἐπὶ διαστροφῇ τῶν λαῶν κὴ ταραχῇ τῶν Ἐκκλησιῶν, ἰδιάζειν, κὴ μετὰ τῶν Ἰουδαίων ἐπιτελεῖν τὸ πάσχα· τοῦτον ἡ Ἁγία Σύνοδος ἐντεῦθεν ἤδη ἀλλότριον ἔκρινεν τῆς Ἐκκλησίας· ὡς οὐ μόνον ἑαυτῷ ἁμαρτίας, ἀλλὰ πολλοῖς διαφθορᾶς κὴ διαστροφῆς γινόμενον αἴτιον. κὴ οὐ μόνον τοὺς τοιούτους καθαίρει τῆς λειτουργίας, ἀλλὰ κὴ τοὺς τολμῶντας τούτοις κοινωνεῖν μετὰ τὸν καθαίρεσιν. τοὺς δὲ καθαιρεθέντας ὑποτεταγῆναι κὴ τῆς ἐξω-

θεν

θεν τιμῆς, ἧς ὁ Ἅγιος Κανὼν κὴ τὸ τοῦ Θεοῦ ἱερατεῖον μετείληφεν.

Πάντας τοὺς εἰσιόντας εἰς τὸν Ἐκκλησίαν τοῦ Θεοῦ, β.
κὴ ἀκροωμένους ἱερῶν γραφῶν ἀκούοντας, μὴ κοινωνοῦντας δὲ ὅλῃ εὐχῇ ἅμα τῷ λαῷ, ἢ ἀποστρεφομένους τὸν μετάληψιν τῆς εὐχαριστίας κατά τινα ἀταξίαν· τίνας ἀποβλήτους γίνεσθαι τῆς Ἐκκλησίας, ἕως ἂν ἐξομολογησάμενοι κὴ δείξαντες καρποὺς μετανοίας, κὴ παρακαλέσαντες, τυχεῖν δυνηθῶσι συγγνώμης. μὴ δεῖναι δὲ κοινωνεῖν τοῖς ἀκοινωνήτοις, μὴ δὲ κατ' οἴκους συνελθόντας συνεύχεσθαι τοῖς μὴ τῇ Ἐκκλησίᾳ συνευχομένοις, μὴ δὲ ἐν ἑτέρᾳ Ἐκκλησίᾳ ξενοδοχεῖσθαι τοὺς ἐν ἑτέρᾳ Ἐκκλησίᾳ μὴ συναγομένους· εἰ δὲ φανείη τις ἢ Ἐπισκόπων ἢ Πρεσβυτέρων ἢ Διακόνων, ἢ τοῖς τοῦ Κανόνος τοῖς ἀκοινωνήτοις κοινωνῶν· κὴ αὐτὸν ἀκοινώνητον εἶναι, ὡς ἂν συγχέοντα τὸν Κανόνα τῆς Ἐκκλησίας.

Εἴ τις Πρεσβύτερος ἢ Διάκονος, ἢ ὅλως τῷ τοῦ γ.
ἱερατείου τοῖς καταλειπὼν τὴν ἑαυτοῦ παροικίαν, εἰς ἑτέραν ἀπέλθοι. ἔπειτα παντελῶς μεταβαίνειν ἐν ἄλλῃ παροικίᾳ πειρᾶται ἐπὶ πολλῷ χρόνῳ, μηκέτι λειτουργεῖν, εἰ μάλιστα καλοῦντι τῷ Ἐπισκόπῳ τῷ ἰδίῳ κὴ ἐπανελθεῖν εἰς τὴν παροικίαν τὴν ἑαυτοῦ παραινοῦντι μὴ ὑπακούοι. εἰ δὲ κὴ ἐπιμένοι τῇ ἀταξίᾳ, παντελῶς αὐτὸν καθαιρεῖσθαι τῆς λειτουργίας, ὡς μηκέτι χώραν ἔχειν ἀποκαταστάσεως· εἰ δὲ καθαιρεθέντα διὰ ταύτην τὴν αἰτίαν δέχοιτό ἕτερος Ἐ-

πίσκοπος, καὶ κεῖνον ἐπιτιμίας τυγχάνειν ὑπὸ κοινῆς Συνόδου, ὡς παραλύοντα τὰς θεσμὰς τὰς Ἐκκλησιαστικάς.

δ'. Εἴ τις Ἐπίσκοπος ὑπὸ Συνόδου καθαιρεθείς, ἢ Πρεσβύτερος ἢ Διάκονος ὑπὸ τοῦ ἰδίου Ἐπισκόπου, τολμήσειέ τι πράξαι τῆς λειτουργίας, εἴτε ὁ Ἐπίσκοπος τῷ προάγουσαν σωτηρίαν, εἴτε ὁ Πρεσβύτερος, εἴτε ὁ Διάκονος· μηκέτι ἔξὸν εἶναι αὐτῷ, μηδ' ἑτέρᾳ Συνόδῳ ἐλπίδα ἀποκαταστάσεως, μήτε ἀπολογίας χῶραν ἔχειν· ἀλλὰ καὶ τοὺς κοινωνοῦντας αὐτῷ πάντας ἀποβάλλεσθαι τῆς Ἐκκλησίας. καὶ μάλιστα, εἰ μαθόντες τὴν ἀπόφασιν τὴν κατὰ τοῦ προειρημένων ἔτολμήθησαν τολμήσειαν αὐτοῖς κοινωνεῖν.

ε'. Εἴ τις Πρεσβύτερος ἢ Διάκονος, καταφρονήσας τοῦ Ἐπισκόπου τοῦ ἰδίου, ἀφώρισεν ἑαυτὸν τῆς Ἐκκλησίας, καὶ ἰδίᾳ συνήγαγεν, καὶ θυσιαστήριον ἔστησεν, καὶ τοῦ Ἐπισκόπου προσκαλεσαμένου ἀπειθοίη, καὶ μὴ βέλοιτο αὐτῷ πείθεσθαι, μὴ δὲ ὑπακούειν καὶ πρῶτον καὶ μετὰ δεύτερον καλοῦντι· τοῦτον καθαιρεῖσθαι παντελῶς, καὶ μηκέτι θεραπείας τυγχάνειν, μὴ δὲ δύνασθαι λαμβάνειν τὴν ἑαυτοῦ τιμήν· εἰ δὲ παραμένοι, θορυβῶν καὶ ἀνασατῶν τὴν Ἐκκλησίαν διὰ τῆς ἔξωθεν ἐξουσίας, ὡς σασιώδη αὐτὸν (*) ἀπιστρέφεσθαι.

ς'. Εἴ τις ὑπὸ τοῦ ἰδίου Ἐπισκόπου ἀκοινώνητος γέγονεν, μὴ πρότερον αὐτὸν παρὰ ἑτέρων δεχθῆναι,

(*) Ἀποστρέφεσθαι.

(εἰ

(εἰ μὴ ὑπ' αὐτοῦ παραδεχθείη τοῦ ἰδίου Ἐπισκόπου) ἢ Συνόδου γενομένης ἀπαντήσας διολογήσεται. πείσας τε τὴν Σύνοδον, καταδέξοιτο ἑτέραν ἀπόφασιν· ὁ αὐτὸς δὲ ὅρος ἐπὶ λαϊκῶν καὶ Πρεσβυτέρων καὶ Διακόνων καὶ πάντων τῶν ἐν τῷ Κανόνι.

Μηδένα ἄνευ εἰρηνικῶν. δέχεσθαι τοὺς ξένους. ζ'.

Μὴ δεῖν Πρεσβυτέρους τὰς ἐν ταῖς χώραις Κανονικὰς Ἐπιστολὰς διδόναι, ἢ πρὸς μόνους τοὺς γειτόνας Ἐπισκόπους ἐπιστολὰς ἐκπέμπειν. τοὺς δὲ ἀνεπιλήπτους χωρεπισκόπους, διδόναι εἰρηνικάς. η'.

Τοὺς καθ' ἑκάστην ἐπαρχίαν Ἐπισκόπους εἰδέναι χρὴ τὸν ἐν τῇ μητροπόλει προεστῶτα Ἐπίσκοπον, καὶ τὴν φροντίδα ἀναδέχεσθαι πάσης τῆς ἐπαρχίας, διὰ τὸ ἐν τῇ μητροπόλει πανταχόθεν συρρέειν πάντας τοὺς τὰ πράγματα ἔχοντας· ὅθεν ἔδοξε καὶ τὴν τιμὴν προηγεῖσθαι αὐτὸν, μηδὲν τε πράττειν περιττὸν τοὺς λοιποὺς Ἐπισκόπους ἄνευ αὐτοῦ, κατὰ τὸν ἀρχαῖον κρατήσαντα ἡμῖν Πατέρων ἡμῶν Κανόνα, ἃ ταῦτα μόνα ὅσα τῇ ἑκάστου ἐπιβάλλει παροικίᾳ, καὶ ταῖς ὑπ' αὐτὴν χώραις. ἕκαστον γὰρ Ἐπίσκοπον ἐξουσίαν ἔχειν τῆς ἑαυτοῦ παροικίας, διοικεῖν τε κατὰ τὴν ἑκάστῳ ἐπιβάλλουσαν δίκαιαν, καὶ πρόνοιαν ποιεῖσθαι πάσης τῆς χώρας τῆς ὑπὸ τὴν ἑαυτοῦ πόλιν, ὡς καὶ χειροτονεῖν Πρεσβυτέρους καὶ Διακόνους, καὶ μετὰ κρίσεως ἕκαστα διακαίνειν· περαιτέρω δὲ μηδὲν πράττειν ἐπιχειρεῖν, δίχα τοῦ τῆς μητροπόλεως

Ε'πισκόπου· μὴ δὲ αὐτὸν, ἀλλ' ταῖς περὶ λοιπῶν γνώμης.

ιὰ. Τὰς κατὰ κώμας ἢ ταῖς χώραις, ἢ τὰς καλουμένας χωρεπισκόπους, εἰ καὶ χειροθεσίαν εἶσαν Ε'πισκόπων εἰληφότες, ἔδοξε τῇ Α'γίᾳ Συνόδῳ εἰδέναι τὰ ἑαυτῶν μέτρα, καὶ διοικεῖν τὰς ὑπαιθρίους αὐτοῖς Ε'κκλησίας, καὶ τῇ τῶν ἀρκεῖσθαι φροντίδι καὶ κηδεμονίᾳ, καθιερᾶν δὲ ἀναγνώσας καὶ ὑποδιακόνους καὶ ἐφορκίσας, καὶ τῇ τῶν ἀρκεῖσθαι προαγωγῇ, μήτε δὲ Πρεσβύτερον μήτε Διάκονον χειροτονεῖν τολμᾶν, δίχα τοῦ κατὰ τὴν πόλιν Ε'πισκόπου, ἣν ὑπόκεινται αὐτοὶ τε καὶ ἡ χώρα. εἰ δὲ τολμήσειέ τις παραβαίνειν τὰ ὡρισμένα, καθαιρεῖσθαι αὐτὸν, καὶ ὃς μετέχει τιμῆς· χωρεπίσκοπον δὲ γίνεσθαι ὑπὸ τοῦ τῆς πόλεως, ἣν ὑπόκειται, Ε'πισκόπου.

ιβ. Ε'ί τις Ε'πίσκοπος ἢ Πρεσβύτερος ἢ ὅλως τοῦ Κανόνος, ἀλλὰ γνώμης καὶ γραμμάτων τῶν κατὰ τὴν ἐπαρχίαν Ε'πισκόπων, καὶ μάλιστα τοῦ κατὰ τὴν μητρόπολιν, ὁρμήσειεν πρὸς βασιλέα ἀπελθεῖν· τοῦτον ἀποκηρύττεσθαι καὶ ἀπόβλητον γίνεσθαι, οὐ μόνον τῆς κοινωνίας, ἀλλὰ καὶ τῆς ἀξίας, ἧς μετέχων τυγχάνει· ὡς παρενοχλοῦντα τοῖς τοῦ θεοφιλεστάτου βασιλέως ἡμῶν ἀκοαῖς παρὰ τὸν θεσμὸν τῆς Ε'κκλησίας. εἰ δὲ ἀναγκαία καλοίη χρεία πρὸς βασιλέα ὁρμᾶν, τοῦτο πράττειν μετὰ σκέψεως καὶ γνώμης τοῦ κατὰ τὴν μητρόπολιν τῆς ἐπαρχίας Ε'πισκό-

που, ἢ τῶν σὺν αὐτῇ τοῖς τε πάπων γράμμασιν ἐφοδιάζεσθαι.

Ε'ί τις ὑπὸ τοῦ ἰδίου Ε'πισκόπου καθαιρεθεὶς Πρεσβύτερος ἢ Διάκονος ἢ καὶ Ε'πίσκοπος ὑπὸ Συνόδου, συνοχλῆσαι τολμήσειε τὰς βασιλέως ἀκοάς, δέον ἐπὶ μείζονα Ε'πισκόπων Σύνοδον τρέπεσθαι, καὶ ἃ νομίζει δίκαια ἔχειν, προσαναφέρειν πλείοσιν Ε'πισκόποις, καὶ τοῦ παρ' αὐτῶν ἐξετάσιν τε καὶ ἐπίκρισιν ἐνδέχεσθαι. εἰ δὲ πάπων ὀλιγωρήσας, συνοχλήσειεν τῷ βασιλεῖ, καὶ πάπου μηδὲ μιᾶς συγγνώμης ἀξιοῦσθαι, μὴ δὲ χῶραν ἀπολογίας ἔχειν, μὴ δὲ ἐλπίδα ἀποκαταστάσεως προσδοκᾶν. ιβ.

Μηδένα Ε'πίσκοπον τολμᾶν ἀφ' ἑτέρας ἐπαρχίας εἰς ἑτέραν μεταβαίνειν, καὶ χειροτονεῖν τινὰς εἰς προαγωγὴν λειτουργίας, μὴ δὲ εἰ συνεπάγοιτο ἑαυτῷ ἑτέρους· εἰ μὴ παρακληθεὶς ἀφίκοιτο διὰ γραμμάτων τοῦ τε μητροπολίτου καὶ τῶν σὺν αὐτῷ Ε'πισκόπων, εἰς τὴν χώραν παρέρχοιτο· εἰ δὲ μηδενὸς καλοῦντος ἀπέλθοι ἀτάκτως ἐπὶ χειροθεσίᾳ τινῶν, καὶ καταστάσει τῶν Ε'κκλησιαστικῶν πραγμάτων μὴ προσηκόντων αὐτῷ· ἄκυρα μὲν τὰ ὑπ' αὐτοῦ πεπραγμένα τυγχάνειν, καὶ αὐτὸν δὲ ὑπέχειν τῆς ἀταξίας αὐτοῦ καὶ τῆς παρὰ λόγον ἐπιχειρήσεως τὴν προσήκουσαν δίκην, καθηρημένον ἐντεῦθεν ἤδη ὑπὸ τῆς ἁγίας Συνόδου. ιγ.

Ε'ί τις Ε'πίσκοπος ἐπὶ τισιν ἐγκλήμασι κεκίνητο, ιδ.

ἔπειτα συμβαίη περὶ αὐτῆς διαφωνεῖν τὰς τῇ ἐπαρχίᾳ Ἐπισκόπους, τῶν μὲν ἀθῷον τὸν κεινόμενον ἀποφαινόντων, τῶν δὲ σῶφρον· ὑπὲρ ἀπαλλαγῆς πάσης ἀμφισβητήσεως, ἔδοξε τῇ Ἁγίᾳ Συνόδῳ τὸν τῆς μητροπόλεως Ἐπίσκοπον ἀπὸ τῆς πλησιοχώρου ἐπαρχίας μεταπαλεῖσθαι ἑτέρους τινὰς τὰς ἐπικρινούσας, καὶ τῷ ἀμφισβήτησιν διαλύοντας, τὰ βεβαιῶσαι σὺν τοῖς τῆς ἐπαρχίας τὸ παρεσφάλμενον.

ιε'. Εἴ τις Ἐπίσκοπος ἐπί τισιν ἐγκλήμασιν κατηγορηθείς, κεκλημένη ὑπὸ πάντων τῶν τῇ ἐπαρχίᾳ Ἐπισκόπων, πάντες τε σύμφωνοι μίαν κατ' αὐτῆς ἐξενέγκοιεν ψῆφον· τὸν μηκέτι παρ' ἑτέροις δικάζεσθαι, ἀλλὰ μένειν βεβαίαν τῷ σύμφωνον τῶν ἐπὶ τῆς ἐπαρχίας τῶν Ἐπισκόπων ἀπόφασιν.

ιϛ'. Εἴ τις Ἐπίσκοπος χολάζων ἐπὶ χολάζουσαν Ἐκκλησίαν ἑαυτὸν ἐπιρρίψας, ὑφαρπάζοι τὸν θρόνον δίχα Συνόδου τελείας· τὸν ἀπόβλητον εἶναι, καὶ εἰ πᾶς ὁ λαὸς, ὃν (*) ὑφάρπασεν, ἔλοιτο αὐτόν. τελείαν δὲ ἐκείνην εἶναι Σύνοδον, ἣ συμπάρεστι καὶ ὁ τῆς μητροπόλεως.

ιζ'. Εἴ τις Ἐπίσκοπος χειροθεσίαν Ἐπισκόπου λαβὼν, καὶ ὁρισθεὶς προεσάναι λαοῦ, μὴ καταδέξοιτο τὴν λειτουργίαν, μὴ δὲ πείθοιτο ἀπίσαι εἰς τὴν ἐγχειρισθεῖσαν αὐτῷ Ἐκκλησίαν· τὸν εἶναι ἀκοινώνητον, ἕως ἂν ἀναγκασθεὶς, καταδέξοιτο ἢ ὁρίσοι τι περὶ αὐτοῦ ἡ τελεία Σύνοδος τῶν καὶ τὴν ἐπαρχίαν Ἐπισκόπων.

(*) Ὑφήρπασεν.

ιη'. Εἴ

Εἴ τις Ἐπίσκοπος χειροτονηθεὶς εἰς παροικίαν μὴ ἀπέλθῃ εἰς ἣν (*) χειροτονήθη, ἀφ' ἑαυτοῦ αἰτίαν, ἀλλ' ἵνα διὰ τὸ τοῦ λαοῦ παραίτησιν, ἢ δι' ἑτέραν αἰτίαν ἣν δικαίως γινομένην· τοῦτον μετέχειν τῆς τιμῆς καὶ τῆς λειτουργίας, μόνον μηδὲν παροικοχλεῖσθαι τοῖς πράγμασι τῆς Ἐκκλησίας, σὺν ἂν σωφρονοῖτο· ἐνδέχεσθαι δὲ τοῦτον, ὃ καὶ ἡ τῆς ἐπαρχίας τελεία Σύνοδος κρίνασα τὸ παρεσφάλμενον διορθῶσαι.

ιθ'. Ἐπίσκοπον μὴ χειροτονεῖσθαι διὰ χρεῶν Συνόδου καὶ παρουσίας τοῦ ἐν τῇ μητροπόλει τῆς ἐπαρχίας· τοῦτο δὲ παρόντας δικαίως πάντας, βέλτιον μὲν σωθῆναι αὐτῷ πάντας τοὺς ἐν τῇ ἐπαρχίᾳ συλλειτουργοὺς, καὶ προσήκειν δι' ἐπιστολῆς τὸν σὺν τῇ μητροπόλει συγκαλεῖν, καὶ εἰ μὲν ἀπαντῶεν οἱ πάντες, βέλτιον· εἰ δὲ δυχερές εἴη τοῦτο, τούς γε πλείους δικαίως πάντας παρεῖναι δεῖ, ἢ διὰ γραμμάτων ὁμοψήφους γενέσθαι· καὶ ἕπως μετὰ τῶν πλειόνων ἔπῃ παρουσίας ἡ ψῆφος γίνεσθαι τῷ κατάστασιν· εἰ δὲ ἄλλως παρὰ τὰ ὡρισμένα γίνοιτο, μηδὲν ἰσχύειν τῷ χειροτονίαν· εἰ δὲ καὶ τὸν ὡρισμένον Κανόνα γίνοιτο ἡ κατάστασις, αὐτιλέγοιεν δέ τινες διὰ οἰκείαν φιλονεικίαν, κρατεῖν τὴν τῶν πλειόνων ψῆφον.

κ'. Διὰ τὰς Ἐκκλησιαστικὰς χρείας, καὶ τὰς τῶν ἀμφισβητουμένων διαλύσεις, καλῶς ἔχειν ἔδοξε Συνόδους καθ' ἑκάστην ἐπαρχίαν τῶν Ἐπισκόπων γίνεσθαι δύτερον τοῦ ἔτους· ἅπαξ μὲν, μετὰ τὴν τρίτην ἑβδομάδα

(*) Ἐχειροτονήθη.

τῆς ἑορτῆς τὸ πάχα, ὥστε τῇ τετάρτῃ ἑβδομάδι τῆς Πεντηκοστῆς ἐπιτελεῖσθαι τὴν Σύνοδον, ὑπομιμνήσκοντας τοὺς ἐπαρχιώτας τὸ ἐν τῇ μητροπόλει· τὴν δὲ δευτέραν Σύνοδον γίνεσθαι ἴδιος Ὀκτωβρίαις, ἥτις ἐστὶ δεκάτη ὑπερβερεταίου· ὥς τε καὶ αὐτοῖς ταύτας ταῖς Συνόδοις προσίεναι Πρεσβυτέρους καὶ Διακόνους, καὶ πάντας τοὺς ἰδιώτας νομίζοντας, καὶ παρὰ τῆς Συνόδου ἐπιτυγχάνειν. μὴ ἐξεῖναι δέ τινας καθ' ἑαυτοὺς ποιεῖσθαι ἀπὸ τῶν πεπισευμένων τὰς μητροπόλεις.

κά. Ἐπίσκοπον ἀπὸ παροικίας ἑτέρας εἰς ἑτέραν μὴ μεθίσασθαι, μήτε αὐθαιρέτως ἐπιῤῥίπτοντα ἑαυτὸν, μήτε ὑπὸ λαῶν ἐπιβιαζόμενον, μήτε ὑπὸ Ἐπισκόπων ἀναγκαζόμενον. μένειν δὲ εἰς ὃ ἐκληρώθη ὑπὸ τοῦ Θεοῦ ἀρχὴς Ἐκκλησίαν καὶ μὴ μεθίσασαι αὐτῆς, καὶ τὸν ἤδη πρότερον περὶ πάντα ἀσεχθέντα ὅρον.

κβ. Ἐπίσκοπον μὴ ἐπιβαίνειν ἀλλοτρίᾳ πόλει τῇ μὴ ὑποκειμένῃ αὐτῷ, μὴ δὲ χώρᾳ τῇ αὐτῷ μὴ διαφερούσῃ ἐπιχειροτονίᾳ τινός, μὴ δὲ καθισᾷν Πρεσβυτέρους ἢ Διακόνους εἰς τόπους ἑτέρῳ Ἐπισκόπῳ ὑποκειμένους· εἰ μὴ ἄρα μετὰ γνώμης τοῦ οἰκείου τῆς χώρας Ἐπισκόπου· εἰ δὲ τολμήσειέντις τοιοῦτο, ἄκυρον εἶναι τὴν χειροθεσίαν, καὶ αὐτὸν ἐπιτιμίας ὑπὸ τῆς

κγ. Συνόδου τυγχάνειν.

Ἐπίσκοπον μὴ ἐξεῖναι αὐτ' αὐτοῦ καθισᾷν ἕτερον

ἑαυτῷ

ἑαυτῷ διάδοχον, κἂν πρὸς τῇ τελευτῇ τοῦ βίου τυγχάνῃ. εἰ δέ τι τοιοῦτον γίνοιτο, ἄκυρον εἶναι τὴν κατάστασιν· φυλάττεσθαι δὲ τὸν θεσμὸν τὸν Ἐκκλησιαστικὸν περιέχοντα, μὴ δεῖν ἄλλως γίνεσθαι, ἢ μετὰ Συνόδου καὶ ἐπιψηφίσεως Ἐπισκόπων, καὶ μετὰ τὴν κοίμησιν τοῦ ἀναπαυσαμένου τὴν ἀξίαν ἐχόντων τοῦ προάγεσθαι τὸν ἄξιον.

κδ'. Τὰ τῆς Ἐκκλησίας, τῇ Ἐκκλησίᾳ καλῶς ἔχειν φυλάττεσθαι δεῖν, μετὰ πάσης ἐπιμελείας καὶ ἀγαθῆς σωφρονίσεως καὶ πίστεως τῆς εἰς τὸν πάντων ἔφορον καὶ κρείττω Θεόν, ἃ καὶ διοικεῖσθαι προσήκει μετὰ κρίσεως καὶ ἀξίας τοῦ Ἐπισκόπου τοὺς πεπιστευμένους πάντα τὸν λαὸν καὶ τὰς ψυχὰς καὶ σωζομένων. φανερὰ δὲ εἶναι τὰ διαφέροντα τῇ Ἐκκλησίᾳ μετὰ γνώσεως καὶ περὶ αὐτὸν Πρεσβυτέρων καὶ Διακόνων. ὥστε πάντας εἰδέναι καὶ μὴ ἀγνοεῖν, τίνα ποτέ ἐστι τῆς Ἐκκλησίας, ὥστε μηδὲ αὐτὸς λανθάνειν· ἵν' εἰ συμβαίη τὸν Ἐπίσκοπον μεταλλάττειν τὸν βίον, φανερῶν ὄντων καὶ διαφερόντων τῇ Ἐκκλησίᾳ πραγμάτων, μήτε αὐτὰ διαπίπτειν καὶ ἀπόλλυσθαι, μήτε τὰ ἴδια τοῦ Ἐπισκόπου σχολεῖσθαι προφάσει καὶ Ἐκκλησιαστικῶν πραγμάτων· δίκαιον γὰρ καὶ ἀρεστὸν παρά τε τῷ Θεῷ καὶ ἀνθρώποις, τὰ ἴδια τοῦ Ἐπισκόπου, οἷς ἂν αὐτὸς βούλεται, καταλιμπάνεσθαι· τὰ μέντοι τῆς Ἐκκλησίας, αὐτῇ φυλάττεσθαι· καὶ μήτε τὴν Ἐκκλησίαν ζημιοῦσθαι ζημίαν, μήτε τὸν Ἐπίσκοπον προφάσει τῆς Ἐκκλησίας δημεύεσθαι, ἢ καὶ εἰς πράγ-

ματα

μαζα ἐμπίπτειν τὰς αὐτῷ διαφερούσας, μετὰ τῦ καὶ αὐτὸν μετὰ θανάτον δυσφημίαν περιβάλλεσθαι.

κέ. Ε'πίσκοπον ἔχειν τῆς τῆς Ε'κκλησίας πραγμάτων ἐξουσίαν ὡς τε αὐτὰ διοικεῖν εἰς πάντας τὰς δεομένους, μετὰ πάσης εὐλαβείας καὶ φόβου Θεῦ. μεταλαμβάνειν δὲ καὶ αὐτὸν τῆς δεόντων (εἴγε δέοιτο) εἰς τὰς ἀναγκαίας αὐτῦ χρείας καὶ τῆς παρ' αὐτῷ ἐπιξενωμένων ἀδελφῶν, ὡς καὶ μηδένα ξένον αὐτὸν ὑστερῆσθαι. καὶ τὸν Θεῖον Α'πόστολον λέγοντα· ἔχοντες διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα· εἰ δὲ μὴ τούτοις ἀρκοῖτο, μεταβάλλοι δὲ τὰ πράγματα εἰς (*) οἰκιακὰς αὐτῦ χρείας, καὶ τὰς πόρους τῆς Ε'κκλησίας ἢ τὰς τῆς ἀγρῶν καρπὰς, μὴ μετὰ γνώμης τῆς πρεσβυτέρων ἢ τῆς Διακόνων χωρίζοι, ἀλλ' οἰκείοις αὐτῦ καὶ συγγενέσιν, ἢ ἀδελφοῖς, ἢ υἱοῖς παράχοιτο τὴν ἐξουσίαν, εἰς τὸ, διὰ τῆς πιστῶν λελυθότως βλάπτεσθαι τὰς λόγους τῆς Ε'κκλησίας· τῶν ἰδίων παρέχειν τῇ Συνόδῳ τῆς ἐπαρχίας· εἰ δὲ καὶ ἄλλως διαβάλλοιτο ὁ Ε'πίσκοπος, ἢ οἱ σὺν αὐτῷ Πρεσβύτεροι, ὡς τὰ τῆ Ε'κκλησίᾳ διαφέροντα, ἤτοι ἐξ ἀγρῶν ἢ καὶ ἐξ ἑτέρας προφάσεως Ε'κκλησιαστικῆς εἰς ἑαυτὰς ἀποφερόμενοι, ὡς θλίβεσθαι μὲν τὰς πένητας, διαβολὴν δὲ καὶ δυσφημίαν προσείβεσθαι τῷ τε λόγῳ καὶ τοῖς ὅτω διοικῦσιν· καὶ τῆς διορθώσεως τυγχάνειν, τὸ πρέπον δοκιμαζούσης τῆς Α'γίας Συνόδου.

(*) Οἰκιακάς.

ΠΕ-

ΠΕΡΙ' ΤΗ'Σ Ε'Ν ΛΑΟΔΙΚΕΙ'Α, ΣΥΝΟΔΟΥ.

Κανόνες τῆς ἐν Λαοδικείᾳ τῆς Φρυγίας Συμελθόντων Α'γίων καὶ Μακαρίων Πατέρων. ἡ Α'γία Σύνοδος ἡ κατὰ Λαοδίκειαν τῆς Φρυγίας Παχτιανῆς Συγκροτηθεῖσα ἐκ διαφόρων ἐπαρχιῶν τῆς Α'σιανῆς, ὅρους ἐξέθετο Ε'κκλησιαστικὰς, οὓς Υ'ποτέτακται.

Περὶ τῦ, δεῖν καὶ τὸν Ε'κκλησιαστικὸν Κανόνα τὰς ἐλευθέρους καὶ νομίμως σωαφθεῖσας δευτέροις γάμοις, μὴ λαθρογαμίαν ποιησαμένους, ὀλίγον χρόνον παρελθόντος καὶ χολασάντων ταῖς προσευχαῖς καὶ νηστείαις, καὶ συγγνώμην ἀποδίδοσθαι αὐτοῖς τῆς κοινωνίας ὠφείλομεν. α'.

Περὶ τῦ, τὰς ἐξαμαρτάνοντας εἰς διαφόροις πταίσμασιν, καὶ προσκαρτερῦντας τῇ προσευχῇ τῆς ἐξομολογήσεως καὶ μετανοίας, καὶ τῷ ἀποστροφῇ τῆς κακῶν πλείαν ποιουμένους καὶ τῷ ἀναλογίαν τῦ πταίσματος, καιρῷ μετανοίας δοθέντος τοῖς τοιούτοις, διὰ τὰς οἰκτιρμὰς καὶ τῷ ἀγαθότητα τῦ Θεῦ προσάγεσθαι τῇ κοινωνίᾳ. β'.

γ'. Πε-

γ'. Περὶ τοῦ, μὴ δεῖν πρόσφατον φωτισθέντας, προσάγεσθαι εἰς τάγματι ἱερατικῷ.

δ'. Περὶ τοῦ, μὴ δεῖν ἱερατικὸς δανείζειν ἢ τόκους ἢ τὰς λεγομένας ἡμιολίας λαμβάνειν.

ε'. Περὶ τοῦ, μὴ δεῖν τὰς χειροτονίας ἐπὶ παρουσίᾳ ἀπροωμένων γίνεσθαι.

ς'. Περὶ τοῦ, μὴ συγχωρεῖν τοῖς αἱρετικοῖς εἰσιέναι εἰς τὸν οἶκον τοῦ Θεοῦ, ἐπιμένοντας τῇ αἱρέσει.

ζ'. Περὶ τοῦ, τοὺς ἐκ τῆς αἱρέσεων, τοὺτέστιν, ναυτιανῶν ἤτοι φωτεινιανῶν ἢ τεσσαρεσκαιδεκατιτῶν ἐπιστρεφομένους, ἢ τε πιστὸς τοὺς παρ' ἐκείνοις, μὴ προσδέχεσθαι, πρὶν ἀναθεματίσωσι πᾶσαν αἵρεσιν. Ἐξαιρέτως δὲ ὃν ἢ κατέχοντο, καὶ τότε λοιπὸν τοὺς λεγομένους παρ' αὐτοῖς πιστοὺς, ἐκμανθάνοντας τὰ τῆς πίστεως σύμβολα, χειροτόνας τε τῷ ἁγίῳ χρίσματι, ὅτω κοινωνεῖν τοῦ μυστηρίῳ τοῦ ἁγίου.

η'. Περὶ τοῦ, τοὺς ἀπὸ τῆς αἱρέσεως τῆς λεγομένων φρυγῶν ἐπιστρέφοντας, εἰ καὶ ὡς πλήρω νομιζομένῳ παρ' αὐτοῖς τυγχάνοιεν, εἰ καὶ μέγιστοι λέγοιντο· τοὺς πιστοὺς μετὰ πάσης ἐπιμελείας κατηχεῖσθαί τε καὶ βαπτίζεσθαι ὑπὸ τῆς Ἐκκλησίας Ἐπισκόπων τε καὶ Πρεσβυτέρων.

θ'. Περὶ τοῦ, μὴ συγχωρεῖν εἰς τὰ κοιμητήρια ἢ εἰς τὰ λεγόμενα μαρτύρια πάντων τῆς αἱρετικῶν ἀπιέναι τοὺς τῆς Ἐκκλησίας, δίχης ἢ θεραπείας ἕνεκα, ἀλλὰ τοὺς πιστοὺς, ἐὰν ὦσι πιστοὶ, ἀκοινωνήτους γίνεσθαι

σθαι μετάνοιάς τινος· μετανοήσαντας δὲ καὶ ἐξομολογουμένους ἐσφάλθαι, παραδέχεσθαι.

ι'. Περὶ τοῦ, μὴ δεῖν τοὺς τῆς Ἐκκλησίας ἀδιαφόρως πρὸς γάμου κοινωνίαν συνάπτειν τὰ ἑαυτῶν παιδία αἱρετικοῖς.

ια'. Περὶ τοῦ, μὴ δεῖν τὰς λεγομένας Πρεσβύτιδας ἤτοι προκαθημένας, ἐν τῇ Ἐκκλησίᾳ καθίζεσθαι.

ιβ'. Περὶ τοῦ, τοὺς Ἐπισκόπους κεῖσθαι τῆς μητροπολιτῶν καὶ τῆς πέριξ Ἐπισκόπων καθίζεσθαι εἰς τὸν Ἐκκλησιαστικὸν ἀρχὸν, ὄντας ἐν πολλῇ δεδοκιμασμένους, ἔν τε τῷ λόγῳ τῆς πίστεως, καὶ τῇ τοῦ θείου λόγου πολιτείᾳ.

ιγ'. Περὶ τοῦ, μὴ τοῖς ὄχλοις ἐπιτρέπειν τὰς ἐκλογὰς ποιεῖσθαι τῶν μελλόντων καθίζεσθαι εἰς ἱερατεῖον.

ιδ'. Περὶ τοῦ, μὴ τὰ ἅγια εἰς λόγον δίλογιῶν καὶ τὸν ἑορτὴν τοῦ πάσχα, εἰς ἑτέρας παροικίας διαπέμπεσθαι.

ιε'. Περὶ τοῦ, μὴ δεῖν πλέον τῶν Κανονικῶν ψαλτῶν τῶν ἐπὶ τὸν ἄμβωνα ἀναβαινόντων, καὶ ἀπὸ διφθέρας ψαλλόντων, ἑτέρους τινὰς ψάλλειν ἐν Ἐκκλησίᾳ.

ις'. Περὶ τοῦ, ἐν Σαββάτῳ Εὐαγγέλια μετὰ ἑτέρων γραφῶν ἀναγινώσκεσθαι.

ιζ'. Περὶ τοῦ, μὴ δεῖν ἐπισυνάπτειν ἐν ταῖς συνάξεσι τοὺς Ψαλμοὺς, ἀλλὰ διὰ μέσου καθ' ἕκαστον Ψαλμὸν γίνεσθαι ἀνάγνωσιν.

ιη'. Περὶ τοῦ, τὴν αὐτὴν λειτουργίαν τῆς δίχων πάντοτε καὶ ἐν ταῖς ἐνάταις καὶ ἐν ταῖς ἑσπέραις ὀφείλειν γίνεσθαι.

ιθ'. Πε-

ιθ'. Περὶ τοῦ, δεῖν ἰδίᾳ πρῶτον μετὰ τὰς ὁμιλίας τῶν Ε'πισκόπων καὶ τῶν κατηχουμένων ἀκροᾶσθαι, καὶ μετὰ τὸ ἐξελθεῖν τοὺς κατηχουμένους, τῶν ἐν μετανοίᾳ τὴν ἀκρόασιν γίνεσθαι, καὶ τῶν προσελθόντων ὑπὸ χεῖρα καὶ ὑποχωρησάντων· ἵνα τῶν πιστῶν τὰς ἀκροάσεις γίνεσθαι ξεῖς, μίαν μὲν τὴν πρώτην, ἀκροᾶσιν σιωπῆς· τὴν δὲ δευτέραν καὶ ξίτην, ἀκροᾶσιν προσφωνήσεως πληροῦσθαι· εἶθ' οὕτω τὴν εἰρηνικὴν δίδοσθαι· καὶ μετὰ τὸ, Πρεσβυτέρους δεῖναι τῷ Ε'πισκόπῳ τὴν εἰρηνικήν, τότε τοὺς λαϊκοὺς τὴν εἰρηνικὴν δίδοναι· καὶ οὕτω τὴν ἁγίαν προσφορὰν ἐπιτελεῖσθαι· καὶ μόνοις ἐξὸν εἶναι τοῖς ἱερατικοῖς εἰσιέναι εἰς τὸ θυσιαστήριον, καὶ κοινωνεῖν.

κ'. Ο"τι δεῖ Διάκονον ἔμπροσθεν Πρεσβυτέρου καθέζεσθαι, ἀλλὰ μετὰ κελεύσεως τοῦ Πρεσβυτέρου καθέζεσθαι· ὁμοίως δὲ ἔχειν τιμὴν καὶ τοὺς Διακόνους ὑπὸ τῶν ὑπηρετῶν, καὶ πάντων τῶν κληρικῶν.

κα'. Ο"τι δεῖ ὑπηρέτας ἔχειν χώραν εὐπρεπινικὴν, καὶ ἅπτεσθαι δεσποτικῶν σκελῶν.

κβ'. Ο"τι δεῖ ὑπηρέτην ὡράριον φορεῖν, καὶ δὲ τὰς θύρας ἐγκαταλιμπάνειν.

κγ'. Ο"τι δεῖ ἀναγνώστας καὶ ψάλτας ὡράριον φορεῖν, καὶ οὕτως ἀναγινώσκειν καὶ ψάλλειν.

κδ'. Ο"τι δεῖ ἱερατικοὺς ἀπὸ Πρεσβυτέρων ἕως Διακόνων, καὶ ἐξῆς τῆς Ε'κκλησιαστικῆς τάξεως ἕως ὑπηρετῶν καὶ ἀναγνωστῶν καὶ ψαλτῶν καὶ πορτιτῶν καὶ

θυ-

θυρωρῶν καὶ τοῦ πάγματος τῶν ἀσκητῶν, εἰς καπηλεῖον εἰσιέναι.

κε'. Ο"τι δεῖ ὑπηρέτας ἄρτον δίδοναι, καὶ δὲ ποτήριον κλίνειν.

κς'. Ο"τι δεῖ ἐπορκίζειν τοὺς μὴ προαχθέντας ὑπὸ Ε'πισκόπων, μήτε ἐν ταῖς Ε'κκλησίαις, μήτε ἐν ταῖς οἰκίαις.

κζ'. Ο"τι δεῖ ἱερατικοὺς καὶ κληρικοὺς καὶ λαϊκοὺς καλουμένους εἰς ἀγάπην, μέρη αἴρειν, ἀλλὰ τὸ, τὴν εὐβειν τῇ τάξει προσείβεσθαι τῇ Ε'κκλησιαστικῇ.

κη'. Ο"τι δεῖ ἐν τοῖς Κυριακοῖς καὶ ἐν ταῖς Ε'κκλησίαις, τὰς λεγομένας ἀγάπας ποιεῖν, καὶ ἐν τῷ οἴκῳ τοῦ Θεοῦ ἐσθίειν καὶ ἀκούβιτα στρωννύειν.

κθ'. Ο"τι δεῖ Χριστιανοὺς Ἰουδαΐζειν καὶ σαββατίζειν ἐν τῷ Σαββάτῳ σχολάζειν, ἀλλὰ ἐργάζεσθαι αὐτοὺς ἐν τῇ αὐτῇ ἡμέρᾳ· τὴν δὲ Κυριακὴν προτιμῶντας, εἴγε δυνατὸν σχολάζειν· ὡς Χριστιανοί· εἰ δὲ εὑρεθεῖεν Ἰουδαΐζοντες, ἔστωσαν ἀνάθεμα παρὰ Χριστῷ.

λ'. Ο"τι δεῖ ἱερατικοὺς καὶ κληρικοὺς καὶ ἀσκητάς, ἐν βαλανείῳ μετὰ γυναικῶν ἀπολούεσθαι, μηδὲ παῖδα Χριστιανὸν, καὶ λαϊκόν. αὕτη γὰρ πρώτη κατάγνωσις παρὰ τοῖς ἔθνεσιν.

λα'. Ο"τι δεῖ πρὸς παῖδας αἱρετικοὺς ἐπιγαμίας ποιεῖν, καὶ δίδοναι υἱοὺς καὶ θυγατέρας· ἀλλὰ μᾶλλον λαμβάνειν, εἴγε ἐπαγγέλλοιντο Χριστιανοὶ γίνεσθαι.

λβ'. Ο"τι

λβ'. Ο"τι ὐ δεῖ αἱρετικῶν ἀλογίας λαμβάνειν· αἵ τινές εἰσιν ἀλογίαι μᾶλλον, ἢ ἀλογίαι.

λγ'. Ο"τι ὐ δεῖ αἱρετικοῖς, ἢ χισματικοῖς συνδέχεσθαι.

λδ'. Ο"τι ὐ δεῖ παῖδα Χριστιανὸν ἐγκαταλείπειν μάρτυρας Χριστῦ, καὶ ἀπιέναι πρὸς τὺς ψευδομάρτυρας, τοῦτ' ἔστιν αἱρετικῶν, ἢ αὐτὺς πρὸς τὺς προειρημένους αἱρετικὺς ἐρχομένους· ὅτοι γὰρ ἀλλόφυλοι τῦ Θεῦ τυγχάνουσιν. ἔστωσαν ὃν ἀνάθεμα, οἱ ἀπερχόμενοι πρὸς αὐτύς.

λε. Ο"τι ὐ δεῖ Χριστιανὺς ἐγκαταλείπειν τὴν Ἐκκλησίαν τῦ Θεῦ, καὶ ἀπιέναι καὶ Ἀγγέλους ὀνομάζειν καὶ συνάξεις ποιεῖν. ἅπερ ἀπηγόρευται. εἴ τις ὃν εὑρεθῇ ταύτῃ τῇ κεκρυμμένῃ εἰδωλολατρείᾳ χολάζων, ἔστω ἀνάθεμα. ὅτι ἐγκατέλιπεν τὸν Κύριον ἡμῶν Ἰησῦν Χριστὸν, τὸν υἱὸν τῦ Θεῦ, καὶ εἰδωλολατρίᾳ προσῆλθεν.

λς'. Ο"τι ὐ δεῖ ἱερατικὺς ἢ κληρικύς, μάγους ἢ ἐπαοιδὺς εἶναι, ἢ μαθηματικὺς ἢ Ἀστρολόγους, ἢ ποιεῖν τὰ λεγόμενα φυλακτήρια. ἅτινά ἐστι δεσμωτήρια τῆς ψυχῶν αὐτῶν. τὺς δὲ φορῦντας ῥίπτεσθαι ἐκ τῆς Ἐκκλησίας ἐκελεύσαμεν.

λζ'. Ο"τι ὐ δεῖ παρὰ τῆς Ἰουδαίων ἢ αἱρετικῶν τὰ πεμπόμενα ἑορταστικὰ λαμβάνειν, μηδὲ συνεορτάζειν αὐτοῖς.

λη'. Ο"τι ὐ δεῖ παρὰ τῆς Ἰουδαίων ἄζυμα λαμβάνειν, ἢ κοινωνεῖν ταῖς ἀσεβείαις αὐτῶν.

λθ'. Ο"τι

Ο"τι ὐ δεῖ τοῖς ἔθνεσι συνεορτάζειν, καὶ κοινωνεῖν τῇ ἀθεότητι αὐτῶν. λθ'.

Ο"τι ὐ δεῖ Ἐπισκόπυς καλυμένυς εἰς Συνόδον, καταφρονεῖν, ἀλλ' ἀπιέναι καὶ διδάσκειν ἢ διδάσκεσθαι, εἰς κατόρθωσιν τῆς Ἐκκλησίας καὶ τῆς λοιπῶν· εἰ δὲ καταφρονήσειεν ὁ τοιῦτος, ἑαυτὸν αἰτιάσεται· παρεντὸς, εἰμὴ δι' ἀνωμαλίαν ἀπολιμπάνοιτο. μ'.

Ο"τι ὐ δεῖ ἱερατικὸν ἢ κληρικὸν ἁπλῶς Κανονικῶν γραμμάτων ὁδεύειν. μά.

Ο"τι ὐ δεῖ ἱερατικὸν ἢ κληρικὸν ἄνευ κελεύσεως Ἐπισκόπυ ὁδεύειν. μβ.

Ο"τι ὐ δεῖ ὑπηρέτας, καὶν βραχύ, τὰς θύρας ἐγκαταλείπειν, καὶ τῇ ἐκκλησίᾳ χολάζειν. μγ.

Ο"τι ὐ δεῖ γυναῖκας εἰ τῷ θυσιαστηρίῳ εἰσέρχεσθαι. μδ.

Ο"τι ὐ δεῖ μετὰ δύο ἑβδομάδας δέχεσθαι εἰς τὸ φωτισμα τῆς Τεσσαρακοστῆς. με.

Ο"τι δεῖ τὺς φωτιζομένυς, τῇ πίστιν ἐκμανθάνειν, καὶ τῇ πέμπτῃ τῆς ἑβδομάδος ἀπαγγέλλειν τῷ Ἐπισκόπῳ ἢ τοῖς Πρεσβυτέροις. μς'.

Ο"τι δεῖ τὺς εἰ νόσῳ παραλαμβάνοντας τὸ φωτισμα, καὶ εἶτα αὐτοὺς, ἐκμανθάνειν τῇ πίστιν, καὶ γινώσκειν ὅτι θείας δωρεᾶς κατηξιώθησαν. μζ.

Ο"τι δεῖ τὺς φωτιζομένυς μετὰ τὸ βάπτισμα χρίεσθαι χρίσματι ἐπουρανίῳ, καὶ μετόχυς εἶναι τῆς βασιλείας τῦ Χριστῦ. μη.

μϑ'. Ὅτι ὐ δεῖ τῇ Τεσσαρακοστῇ ἄρτον προσφέρειν· εἰ μὴ ἐν Σαββάτῳ ἢ Κυριακῇ μόνον.

ν'. Ὅτι ὐ δεῖ ἐν τεσσαρακοστῇ τῇ ὑστέρᾳ Ἑβδομάδι τῶ πέμπτῳ λύειν, καὶ ὅλῳ τῷ τεσσαρακοστῷ ἀτιμάζειν· ἀλλὰ δεῖ πᾶσαν τῷ τεσσαρακοστῷ νηστεύειν ξηροφαγοῦντας.

να'. Ὅτι ὐ δεῖ ἐν τεσσαρακοστῇ μαρτύρων γενέθλιον ἐπιτελεῖν, ἀλλὰ τῆς ἁγίων μαρτύρων μνείαν ποιεῖν ἐν ταῖς Σαββάτοις καὶ Κυριακαῖς.

νβ'. Ὅτι ὐ δεῖ ἐν τεσσαρακοστῇ γάμους ἢ γενέθλια ἐπιτελεῖν.

νγ'. Ὅτι ὐ δεῖ Χειρισανὸς εἰς γάμους ἀπερχομένους, βαλλίζειν ἢ ὀρχεῖσθαι· ἀλλὰ σεμνῶς δειπνεῖν ἢ ἀειδᾶν, ὡς πρέπει Χειρισανοῖς.

νδ'. Ὅτι ὐ δεῖ ἱερατικὸς ἢ κληρικὸς τινὰς θεωρίας θεωρεῖν ἐν γάμοις ἢ δείπνοις· ἀλλὰ πρὸ τῆς εἰσέρχεσθαι τὺς θυμελικὺς ἐγείρεσθαι αὐτὺς καὶ ἀναχωρεῖν.

νε'. Ὅτι οὐ δεῖ ἱερατικὸς ἢ κληρικὸς ἐν συμβολῇς συμπόσια ἐπιτελεῖν, ἀλλ' ὐ δὲ λαϊκύς.

νς'. Ὅτι ὐ δεῖ Πρεσβυτέρυς πρὸ τῆς εἰσόδυ τῦ Ἐπισκόπυ εἰσιέναι καὶ καθέζεσθαι ἐν τῷ βήματι· ἀλλὰ μετὰ τῦ Ἐπισκόπυ εἰσιέναι· πλὴν εἰ μὴ ἀναμαλοίη ἢ ἀποδημεῖ ὁ Ἐπίσκοπος.

νζ'. Ὅτι ὐ δεῖ ἐν ταῖς κώμαις καὶ ἐν ταῖς χώραις καθίζεσθαι Ἐπισκόπους ἀλλὰ περιοδευτὰς, τὺς μέν τοι ἤδη προκαλεσαμένους, μηδὲν πράττειν ἄνευ γνώμης

τῦ

τῦ Ἐπισκόπυ ἐν τῇ πόλει· ὡσαύτως δὲ καὶ τὺς Πρεσβυτέρυς μηδὲν πράττειν ἄνευ τῆς γνώμης τῦ Ἐπισκόπυ.

νη. Ὅτι ὐ δεῖ ἐν τοῖς οἴκοις προσφορὰν γίνεσθαι παρὰ Ἐπισκόπων ἢ Πρεσβυτέρων.

νϑ'. Ὅτι ὐ δεῖ ἰδιωτικὺς ψαλμὺς λέγεσθαι ἐν τῇ Ἐκκλησίᾳ· ὐδὲ ἀκανόνιστα βιβλία· ἀλλὰ μόνα τὰ Κανονικὰ τῆς καινῆς καὶ παλαιᾶς διαθήκης.

Ξ'. ΟΣΑ ΔΕΙ ΒΙΒΛΙΑ ΑΝΑΓΙΝΩΣΚΕΣΘΑΙ ΠΑΛΑΙΑΣ ΔΙΑΘΗΚΗΣ.

Α'. Γένεσις κόσμυ.
Β'. Ἔξοδυς ἐξ Αἰγύπτυ.
Γ'. Λευϊτικόν.
Δ'. Ἀριθμοί.
Ε'. Δευτερονόμιον.
ς'. Ἰησῦ Καυή.
Ζ' Κριταί. Ῥὺθ.
Η'. Ἐσθήρ.
Θ'. Βασιλειῶν. αβ'.
Ι'. Βασιλειῶν γδ'.
ΙΑ'. Παραλειπόμενα αβ'.
ΙΒ'. Ἔσδρας αβ'.
ΙΓ'. Βίβλοι Ψαλμῶν ρν'.
ΙΔ'. Παροιμίαι Σολομῶντος.

ΙΕ΄. Ἐκκλησιαστής.
Ις΄. Ἆσμα ἀσμάτων.
ΙΖ΄. Ἰώβ.
ΙΗ΄. Δώδεκα Προφῆται.
ΙΘ΄. Ἡσαΐας,
Κ΄. Ἱερεμίας. Βαρὰχ θρῆνοι. καὶ Ἐπιστολή.
ΚΑ΄. Ἰεζεκιήλ.
ΚΒ΄. Δανιήλ.

ΚΑΙΝΗΣ ΔΙΑΘΗΚΗΣ.

Εὐαγγέλια Τέσσαρα.

Κατὰ Ματθαῖον, καὶ Μάρκον καὶ Λουκᾶν, καὶ Ἰωάννην.

Πράξεις Ἀποστόλων. Ἐπιστολαὶ καθολικαὶ ἑπτά, ἤτοι,
Ἰακώβου μία, Πέτρου δύο, Ἰωάννου τρεῖς, Ἰούδα μία.

ΕΠΙΣΤΟΛΑΙ ΠΑΥΛΟΥ

Δεκατέσσαρες.

Πρὸς Ῥωμαίους μία, πρὸς Κορινθίους δύο, πρὸς Γαλάτας μία, πρὸς Ἐφεσίους μία, πρὸς Φιλιππησίους μία, πρὸς Κολασσαεῖς μία, πρὸς Θεσσαλονικεῖς δύο, πρὸς Ἑβραίους μία, πρὸς Τιμόθεον δύο, πρὸς Τίτον μία. πρὸς Φιλήμονα μία.

ΠΕ-

ΠΕΡΙ ΤΗΣ ΑΓΙΑΣ Β΄. ΟΙΚΟΥΜΕΝΙΚΗΣ ΣΥΝΟΔΟΥ.

Συγκροτηθείσης ἀπὸ Χριστοῦ ἔτη 381.

Κανόνες τῆς Ἁγίων Πατέρων τῆς ἐν Κωνσταντινουπόλει Συνελθόντων ἐπὶ Πατείας Φλαβίου Εὐχερίου, καὶ Φλαβίου Εὐαγρίου τῆς λαμπροτάτων, πρὸ ἑπτὰ ἰδῶν Ἰουλίων.

Προσφωνητικὸς τῆς αὐτῆς Ἁγίας Συνόδου, πρὸς τὸν Εὐσεβέστατον Βασιλέα Θεοδόσιον τὸν μέγαν, ᾧ ὑπέταξαν τοὺς παρ' αὐτῶν ἐκτεθέντας Κανόνας.

Τῷ Εὐσεβεστάτῳ καὶ Θεοφιλεστάτῳ, Βασιλεῖ Θεοδοσίῳ, ἡ Ἁγία Σύνοδος τῆς Ἐπισκόπων τῆς ἐν διαφόροις ἐπαρχίαις Συνελθόντων εἰς Κωνσταντινούπολιν.

Ἀρχὴ μὲν ἡμῖν τοῦ πρὸς τοὺς σοὺς δίκαιον εὐσεβείας γράμματος, διάκρισις πρὸς τὸν Θεὸν τὸν ἀναδείξαντα τῆς ὑμετέρας δίκαιον εὐσεβείας τοὺς βασιλείους, ἐπὶ τοι-

τῇ τῆς Ἐκκλησιῶν εἰρλνῃ καὶ τῆς ὑγιοῦς πίστεως συνεγμόν· ἀποδιδόντες δὲ τῷ Θεῷ τὴν ὀφειλομένην εὐχαριστίαν, ἀναγκαίως ἡμῖν τὰ γεγενημένα καὶ τὴν Ἁγίαν Σιωόδον πρὸς τὴν σὴν εὐσέβειαν ἀναφέρομεν· καὶ ὅτι συνελθόντες εἰς τὴν Κωνσταντινούπολιν καὶ τὸ γράμμα τῆς σῆς εὐσεβείας· πρῶτον μὲν, ἀνερωσάμεθα τὴν πρὸς ἀλλήλους ὁμόνοιαν. ἔπειτα δὲ, καὶ συντόμως ὅρους ἐξεφωνήσαμεν, τήν τε τῶν Πατέρων πίστιν τῶν ἐν Νικαίᾳ κυρώσαντες, καὶ πᾶς κατ' αὐτῆς ἐκφυείσας αἱρέσεις ἀναθεματίσαντες. πρὸς δὲ τούτοις, καὶ ὑπὲρ τῆς εὐταξίας τῶν Ἐκκλησιῶν ῥητοὺς Κανόνας ὡρίσαμεν· ἅπερ ἅπαντα τῷδε ἡμῶν τῷ γράμματι ὑπετάξαμεν. δεόμεθα τοίνυν τῆς σῆς ἡμερότητος, γράμματι τῆς σῆς εὐσεβείας ἐπικυρωθῆναι τῆς Συνόδου τὸ ψήφον· ἵν' ὥσπερ τοῖς τῆς κλήσεως γράμμασι τὴν Ἐκκλησίαν τετίμηκας, οὕτω καὶ τῶν δοξάντων ἐπισφραγίσῃς τὸ τέλος· ὁ δὲ Κύριος συνέξῃ σε τὴν βασιλείαν σὺν εἰρλνῃ καὶ δικαιοσύνῃ, καὶ παραπέμψῃ γενεᾶς γενεῶν, καὶ προθείῃ τῷ ἐπιγείῳ κράτει καὶ τῆς βασιλείας τῆς ἐν Οὐρανοῖς τὴν ἀπόλαυσιν. ἐρρῶσθαί σε καὶ ἐν πᾶσι τοῖς καλοῖς διαπρέπειν ὁ Θεὸς χαρίσαιτο τῇ οἰκουμένῃ δι' εὐχῶν τῶν ἁγίων, τὸν ὡς ἀληθῶς εὐσεβέστατον καὶ θεοφιλέστατον βασιλέα.

Τάδε

Τάδε ὥρισαν οἱ ἐν Κωνσταντινουπόλει, χάριτι Χριστοῦ Συνελθόντες Ἐπίσκοποι ἐπαρχιῶν καὶ κλῆσιν τοῦ Εὐσεβεστάτου Βασιλέως Θεοδοσίου.

ΜΗ' ἀθετεῖσθαι τὴν πίστιν τῶν Πατέρων τῶν ἁγίακοσίων Δεκαοκτὼ τῶν ἐν Νικαίᾳ τῆς Βιθυνίας Συνελθόντων· ἀλλὰ μένειν ἐκείνην κυρίαν, καὶ ἀναθεματισθῆναι πᾶσαν αἵρεσιν· καὶ ἰδικῶς τὴν τῶν Εὐνομιανῶν, εἴτουν Ἀετιανῶν· καὶ τὴν τῶν Ἀρειανῶν, εἴτουν Ἐδοξιανῶν. καὶ τὴν τῶν Ἡμιαρείων, εἴτουν Πνευματομάχων. καὶ τὴν τῶν Σαβελλιανῶν, καὶ τὴν τῶν Μαρκελλιανῶν, καὶ τὴν τῶν Φωτεινιανῶν, καὶ τὴν τῶν Ἀπολιναριανῶν. α'.

Τὰς ὑπὲρ διοίκησιν Ἐπισκόπους, ταῖς ὑπεροχαῖς Ἐκκλησίαις μὴ ἐπιτίθεσθαι, μηδὲ συγχέειν τὰς Ἐκκλησίας· ἀλλὰ κατὰ τοὺς Κανόνας, τὸν μὲν Ἀλεξανδρείας Ἐπίσκοπον, τὰ κατ' Αἴγυπτον μόνον οἰκονομεῖν· τοὺς δὲ τῆς Ἀνατολῆς Ἐπισκόπους, τὴν Ἀνατολὴν μόνην διοικεῖν· φυλαττομένων τῶν κατὰ τοὺς κανόσι τοῖς κατὰ Νικαίαν πρεσβείων τῇ Ἀντιοχέων Ἐκκλησίᾳ. καὶ τοὺς τῆς Ἀσιανῆς διοικήσεως Ἐπισκόπους, τὰ κατὰ τὴν Ἀσιανὴν μόνον οἰκονομεῖν· καὶ τοὺς τῆς Ποντικῆς, τὰ τῆς Ποντικῆς μόνα. καὶ τοὺς τῆς Θρακικῆς, τὰ τῆς Θρακικῆς μόνον οἰκονομεῖν. ἀκλήτους δὲ Ἐπι- β'.

σκόπως ὑπὲρ διοικησιν μὴ ἐπιβαίνειν ἐπὶ χειροτονίᾳ ἤτισιν ἄλλαις οἰκονομίαις Ἐκκλησιαστικαῖς· φυλαττομένης δὲ τῆς προγεγραμμένης περὶ τῆς διοικήσεων Κανόνος, εὔδηλον ὡς τὰ καθ' ἑκάστην ἐπαρχίαν ἡ τῆς ἐπαρχίας Σιώδος διοικήσει καὶ τὰ ἐν Νικαίᾳ ὡρισμένα. τὰς δὲ ἐν τοῖς βαρβαρικοῖς ἔθνεσιν τῆς Θεῆς Ἐκκλησίας, οἰκονομεῖσθαι χρὴ καὶ τὸν κρατήσασαν συνήθειαν τῶν Πατέρων.

γ'. Τὸν μέντοι Κωνσταντινουπόλεως Ἐπίσκοπον ἔχειν τὰ πρεσβεῖα τῆς τιμῆς μετὰ τὸν τῆς Ῥώμης Ἐπίσκοπον· δηλαδὴ τὸ εἶναι αὐτὸν νέαν Ῥώμην.

δ'. Περὶ Μαξίμου τοῦ κυνικοῦ καὶ τῆς κατ' αὐτὸν ἀταξίας τῆς ἐν Κωνσταντινουπόλει γενομένης· ὥστε μήτε Μάξιμον Ἐπίσκοπον ἢ γενέσθαι ἢ εἶναι, μήτε τοὺς παρ' αὐτοῦ χειροτονηθέντας ἐν οἱῳδήποτε βαθμῷ κλήρου, πάντων καὶ τῶν περὶ αὐτὸν, καὶ τῶν παρ' αὐτοῦ γενομένων ἀκυρωθέντων.

ε'. Περὶ τοῦ τόμου τῶν δυτικῶν. καὶ ὡς ἐν Ἀντιοχείᾳ ἀπεδεξάμεθα τοὺς μίαν ὁμολογοῦντας Πατρὸς, καὶ Υἱοῦ, καὶ Ἁγίου Πνεύματος θεότητα.

ς'. Ἐπειδὴ πολλοὶ τὸν Ἐκκλησιαστικὸν διέταξιαν συγχεῖν καὶ ἀναστρέφειν βουλόμενοι, φιλεχθρως καὶ συκοφαντικῶς αἰτίας τινὰς κατὰ τῶν οἰκονομούντων τὰς Ἐκκλησίας ὀρθοδόξων Ἐπισκόπων συμπλάσσουσιν, οὐδὲν ἕτερον ἢ χραίνειν τὰς τῶν ἱερέων ὑπολήψεις καὶ παραχὰς τῶν εἰρηνευόντων λαῶν καταβάλλειν ἐπι-

χει-

χειροῦντες· τοῦτο οὖσαν ἄρεσεν τῇ Ἁγίᾳ Σιώδῳ τῶν ἐν Κωνσταντινουπόλει συνδραμόντων Ἐπισκόπων, μὴ ἀνεξετάστως προσίεσθαι τὰς κατηγορίας, μηδὲ πᾶσιν Ἐπιτρέπειν τὰς κατηγορίας ποιεῖσθαι κατὰ τῶν οἰκονομούντων τὰς Ἐκκλησίας, μηδὲ μὴν πάντας ἀποκλείειν· ἀλλ' εἴ τις οἰκείαν τινὰ μέμψιν, τοῦτ' ἔστιν, ἰδιωτικὴν ἐπαγάγοι τῷ Ἐπισκόπῳ, ὡς πλεονεκτηθείς, ἢ ἀλλοτί παρὰ τὸ δίκαιον παρ' αὐτοῦ πεπονθὼς, ἐπὶ τῶν τοιούτων κατηγοριῶν μὴ ἐξετάζεσθαι, μήτε πρόσωπον τοῦ κατηγόρου, μήτε τὴν θρησκείαν. χρὴ γὰρ παντὶ δήπου, τό, τε σωφρονοῦν τοῦ Ἐπισκόπου ἐλεύθερον εἶναι, καὶ τὸν ἀδικεῖσθαι λέγοντα, οἵας ἂν ᾖ θρησκείας τῶν δικαίων τυγχάνειν. εἰ δὲ Ἐκκλησιαστικόν τι τὸ ἐπιφερόμενον ἔγκλημα τῷ Ἐπισκόπῳ, τότε δοκιμάζεσθαι χρὴ τῶν κατηγορούντων τὰ πρόσωπα. ἵνα πρῶτον μὲν αἱρετικοῖς μὴ ἐξῇ κατηγορίας κατὰ τῶν ὀρθοδόξων Ἐπισκόπων ὑπὲρ Ἐκκλησιαστικῶν πραγμάτων ποιεῖσθαι· αἱρετικοὺς δὲ λέγομεν, τούς τε πάλαι τῆς Ἐκκλησίας ἀποκηρυχθέντας, καὶ τοὺς μετὰ ταῦτα ὑφ' ἡμῶν ἀναθεματισθέντας. πρὸς δὲ τούτοις, καὶ τοὺς τῷ πίστιν μὲν τῷ ὑγιῆ προστιθεμένους ὁμολογεῖν, ἀποχίσαντας δὲ καὶ ἀντισυνάγοντας τοῖς Κανονικοῖς ἡμῶν Ἐπισκόποις· ἔπειτα δὲ καὶ εἴ τινες τῶν ἀπὸ τῆς Ἐκκλησίας ἐπὶ αἰτίαις τισὶ προκατεγνωσμένοι εἶεν καὶ ἀποβεβλημένοι, ἢ ἀκοινώνητοι, εἴτε ἀπὸ κλήρου, εἴτε ἀπὸ λαϊκοῦ

πάγ-

τάγματος, μὴ δὲ πάτοις ἐξεῖναι κατηγορεῖν Ἐπισκόπου, πρὶν ἂν τὸ οἰκεῖον ἔγκλημα πρότερον ἀποδύσωνται. ὁμοίως δὲ καὶ τοὺς ὑπὸ κατηγορίαν προλαβεῖν ὄντας, μὴ πρότερον εἶναι δεκτοὺς εἰς Ἐπισκόπου κατηγορίαν, ἢ ἑτέρων κληρικῶν, πρὶν ἂν ἀθῴους ἑαυτοὺς τῶν ἐπαχθέντων αὐτοῖς ἀποδείξωσιν ἐγκλημάτων. εἰ μέντοι τινὲς μήτε αἱρετικοὶ, μήτε ἀκοινώνητοι εἶεν, μήτε κατεγνωσμένοι, ἢ προκατηγορημένοι ἐπί τισι πλημμελήμασι, λέγοιεν δὲ ἔχειν τινὰ Ἐκκλησιαστικὸν καὶ τοῦ Ἐπισκόπου κατηγορίαν, πῶς πελλάβοι ἡ Ἁγία Σύνοδος πρῶτον μὲν ἐπὶ τῶν τῆς ἐπαρχίας πάντων Ἐπισκόπων ἐνίσασθαι τὰς κατηγορίας, καὶ ἐπ' αὐτῶν ἐλέγχειν τὰ ἐγκλήματα τοῦ ἐν αἰτίαις τισὶν Ἐπισκόπου· εἰ δὲ συμβαίη ἀδυνατῆσαι τὰς ἐπαρχιώτας πρὸς διόρθωσιν τῶν ἐπιφερομένων ἐγκλημάτων τῷ Ἐπισκόπῳ, τότε αὐτὰς προσιέναι μείζονι Συνόδῳ τῶν τῆς διοικήσεως Ἐπισκόπων ἐκείνης, ὑπὲρ τῆς αἰτίας ταύτης συγκαλουμένων, καὶ μὴ πρῶτον ἐνίσασθαι τῇ κατηγορίαν, περὶ ἧς ἐγγράφως αὐτοὺς τὸν ἴσον αὐτοῖς ἀντιμήσασθαι κίνδυνον· εἴπερ ἐν τῇ τῶν πραγμάτων τάξει συκοφαντοῦντες τὸν κατηγορούμενον Ἐπίσκοπον ἐλεγχθεῖεν. εἰ δέ τις καταφρονήσας τῶν καὶ τὰ προδηλωθέντα δεδογμένων, ταλμήσειεν ἢ βασιλικὰς ἐνοχλεῖν ἀκοὰς, ἢ κοσμικῶν ἀρχόντων δικαστήρια, ἢ οἰκουμενικῇ Συνόδου ταράσσειν, πάντας ἀτιμάσας τοὺς τῆς διοικήσεως

Ἐπι-

Ἐπισκόπους, τὸν τοιοῦτον τὸ παράπαν εἰς κατηγορίαν μὴ εἶναι δεκτὸν, ὡς καθυβρίσαντα τοὺς Κανόνας, καὶ τῇ Ἐκκλησιαστικῇ λυμηνάμενον δόξαν.

ζ. Τοὺς προσιθεμένους τῇ ὀρθοδοξίᾳ καὶ τῇ μερίδι τῶν σωζομένων ἀπὸ αἱρετικῶν, δεχόμεθα καὶ τῇ συντεταγμένῃ ἀκολουθίαν καὶ συνήθειαν. Ἀρειανοὺς μὲν καὶ Μακεδονιανοὺς καὶ Σαββατιανοὺς καὶ Ναυατιανοὺς τοὺς λέγοντας ἑαυτοὺς καθαροὺς καὶ ἀειστεροὺς, καὶ τοὺς Τετραδεκατίτας ἤγουν τεσσαρεσκαιδεκατίτας, καὶ Ἀπολιναριστὰς δεχόμεθα διδόντας λιβέλλους καὶ ἀναθεματίζοντας πᾶσαν αἵρεσιν, μὴ φρονοῦσαν ὡς φρονεῖ ἡ Ἁγία τοῦ Θεοῦ καθολικὴ καὶ Ἀποστολικὴ Ἐκκλησία· καὶ σφραγιζομένους πρῶτον τῷ ἁγίῳ μύρῳ, τό τε μέτωπον καὶ τοὺς ὀφθαλμοὺς καὶ τὰς ῥῖνας καὶ τὸ στόμα καὶ τὰ ὦτα. καὶ σφραγίζοντες αὐτοὺς, λέγομεν, σφραγὶς δωρεᾶς Πνεύματος Ἁγίου. Εὐνομιανοὺς μέντοι τοὺς εἰς μίαν καταδυσιν βαπτιζομένους, καὶ Μοντανιστὰς τοὺς ἐνταῦθα λεγομένους φρύγας, καὶ Σαβελλιανοὺς τοὺς ὑοπατορίαν διδάσκοντας, καὶ ἕτερά τινα χαλεπὰ ποιοῦντας· καὶ πάσας ἁπλῶς πάσας αἱρέσεις (ἐπειδὴ πολλοί εἰσιν ἐνταῦθα, μάλιστα οἱ ἀπὸ τῆς Γαλατῶν χώρας ἐρχόμενοι) πάντας τοὺς ὑπ' αὐτῶν θέλοντας προσίεσθαι τῇ ὀρθοδοξίᾳ, ὡς Ἕλληνας δεχόμεθα, καὶ τὴν πρώτην ἡμέραν ποιοῦμεν αὐτοὺς Χριστιανοὺς, τὴν δὲ δευτέραν κατηχουμένους, εἶτα τῇ ξίτῃ ἐξορκίζομεν αὐ-

τοὺς

πὸς μετὰ τῦ ἐμφυσᾶν ἔριτον εἰς τὸ πρόσωπον καὶ εἰς τὰ ὦτα· καὶ ὕτως κατηχεῖμεν αὐτὸς, καὶ ποιεῖμεν χρονίζειν εἰς τὴν Ἐκκλησίαν, καὶ ἀκροᾶσθαι τῶν γραφῶν· καὶ τότε αὐτὸς βαπτίζομεν.

ΠΕ-

ΠΕΡΙ ΤΗΣ Γ. ΑΓΙΑΣ ΟΙΚΟΥΜΕΝΙΚΗΣ ΣΥΝΟΔΟΥ.

Κανόνες τῆ διακοσίων Ἁγίων καὶ Μακαρίων Πατέρων τῆ ἐν Ἐφέσῳ Σωελθόντων, ἐπὶ τῆ ὑπατείᾳ Φλαβίε Θεοδοσίε τὸ Τρισκαιδέκατον, καὶ Φλαβίου Οὐαλεντιανῦ τὸ Τρίτον, τῆ αἰωνίων Αὐγούστων, πρὸ Δέκα Καλανδῶν Ἰουλίων.

Ἡ Τρίτη ἁγία καὶ οἰκουμενικὴ Σύνοδος, ἡ ἐν Ἐφέσῳ συγκροτηθεῖσα, γέγονεν ἐπὶ Βασιλέως Θεοδοσίε τῦ μικρῦ. ἀθροισθέντων ἐν Ἐφέσῳ σ'. Πατέρων καὶ Νεσορίε Πατριάρχε Κωνσταντινουπόλεως. ὃς φιλὸν ἄνθρωπον ἐδογμάτιζε τὸν Χριςὸν, σώνθρωπον δὲ αὐτῷ καὶ χέσιν τὸν υἱὸν τῦ Θεῦ. διὸ οὐδὲ Θεοτόκον τὴν ἁγίαν παρθένον ἠνείχετο λέγειν. ἀλλὰ χριςοτόκον· ὃς καὶ καθηρέθη καὶ ἀναθεματίσθη παρὰ τῆς Ἁγίων Πατέρων. χρόνοι ἀπὸ Χριςῦ. 431.

ΣΥΝΑΧΘΕΝΤΩΝ ἡμῶν καὶ τὸ ὅσιον βὲς γράμμα σὺν τῇ Ἐφεσίων Μητροπόλει, ἀπέσπασάν

σαντινες ἐξ ἡμῶν, ὄντες τὸν ἀριθμὸν ξιάκοντα, μικρῷ πρός· οἵτινες τῆς Ἐκκλησιαστικῆς κοινωνίας μὴ δὲ μίαν ἔχοντες ἄδειαν, ὡς ἐξ αὐθεντείας ἱερατικῆς εἰς τὸ δυνάσθαί τινας ἐν ταύτῃ βλάπτειν ἢ ὠφελεῖν, διὰ τὸ, καί τινας ἐν αὐτοῖς εἶναι καθηρημένους, πρὸ πάντων μὲν τὰ Νεσορίου καὶ τὰ Κελεστίου φρονήματα ἐπιφερόμενοι σαφέστατα ἀπεδείχθησαν ἐν τῷ μὴ ἐλέσθαι μεθ' ἡμῶν Νεσορίου καταψηφίσασθαι· ὅς τινας δόγματι κοινῷ ἡ Ἁγία Σύνοδος πάσης μὲν Ἐκκλησιαστικῆς κοινωνίας ἀλλοτρίους ἐποίησεν, πᾶσαν δὲ αὐτῶν ἐνέργειαν ἱερατικὴν περιεῖλεν, δι' ἧς ἠδύναντο βλάπτειν ἢ ὠφελεῖν τινας.

ά. Ἐπειδὴ δὲ ἐχρῆν καὶ τοὺς ἀποληφθέντας τῆς Ἁγίας Συνόδου, καὶ μείναντας ἐν χώρᾳ ἢ πόλει διά τινα αἰτίαν ἢ Ἐκκλησιαστικὴν ἢ σωματικὴν, μὴ ἀγνοῆσαι τὰ περὶ αὐτῶν πεπραγμένα· γνωρίζομεν τῇ ὑμετέρᾳ ἁγιότητι καὶ ἀγάπῃ, ὅτι περ εἴτε ὁ μητροπολίτης τῆς ἐπαρχίας ἀποστάσας τῆς ἁγίας καὶ οἰκουμενικῆς Συνόδου, προσέθετο τῷ τῆς ἀποστασίας σωσεδείῳ, ἢ μετὰ τὸ προσεθεῖν, ἢ τὰ τῷ Κελεστίῳ ἐφρόνησεν, ἢ φρονήσῃ· ὧτος καὶ τοὺς τῆς ἐπαρχίας Ἐπισκόπων δύναται πράττεσθαί τι ἀδεμῶς δοκεῖ, πάσης Ἐκκλησιαστικῆς κοινωνίας αὐτεῦθεν ἤδη ὑπὸ τῆς Συνόδου ἐμβεβλημένος καὶ ἀσυνέργητος ὑπάρχων· ἀλλὰ καὶ αὐτοῖς τοῖς τῆς ἐπαρχίας Ἐπισκόποις καὶ τοῖς πέριξ μητροπολίταις τοῖς τὰ τῆς ὀρθοδοξίας φρονοῦσιν ξυνοικήσεται

σεται εἰς τὸ πάντη καὶ τὸν βαθμὸν τῆς Ἐπισκοπῆς ἐμβληθῆναι.

β. Εἰ δέ τινες ἐπαρχιῶται Ἐπίσκοποι ἀπελείφθησαν τῆς Ἁγίας Συνόδου, καὶ τῇ ἀποστασίᾳ προσετέθησαν, ἢ προσεθεῖν πειραθεῖεν, ἢ καὶ ξωγράψαντες τῇ Νεσορίου καθαιρέσει ἐπαλινδρόμησαν πρὸς τὸ τῆς ἀποστασίας σωσέδειον· πάντοις παύτη καὶ τὸ δόξαν τῇ Ἁγίᾳ Συνόδῳ ἀλλοτρίους εἶναι τῆς ἱερωσύνης καὶ τοῦ βαθμοῦ ἐκπίπτοντας.

γ. Εἰ δέ τινες καὶ τῶν ἐν ἑκάστῃ πόλει ἢ χώρᾳ κληρικῶν ὑπὸ Νεσορίου καὶ τῶν σὺν αὐτῷ ὄντων τῆς ἱερωσύνης ἐκωλύθησαν διὰ τὸ ὀρθῶς φρονεῖν· ἐδικαιώσαμεν καὶ πάντας τὸν ἴδιον ἀπολαβεῖν βαθμόν· κοινῶς δὲ τῇ ὀρθοδόξῳ καὶ οἰκουμενικῇ Συνόδῳ συμφρονοῦντας κληρικοὺς, κελεύομεν τοῖς ἀποστᾶσιν ἢ ἀφισαμένοις Ἐπισκόποις, μηδόλως ξυνοικεῖσθαι καὶ μηδενὶ ξόπον.

δ. Εἰ δέτινες ἀποστᾶσιεν τῆς κληρικῶν, καὶ τολμήσαιεν ἢ κατ' ἰδίαν ἢ δημοσίᾳ τὰ Νεσορίου ἢ τὰ Κελεστίου φρονῆσαι· καὶ πάντες εἶναι καθηρημένους, ὑπὸ τῆς Ἁγίας Συνόδου δεδικαίωται.

ε. Ὅσοι δὲ ἐπὶ ἀπόποις πράξεσι κατεκρίθησαν ὑπὸ τῆς Ἁγίας Συνόδου ἢ ὑπὸ τῆς οἰκείων Ἐπισκόπων. καὶ πάντις ἀπανονίσως καὶ τοῦτο ἐν ἅπασιν ἀδιαφορίαν αὐτῷ ὁ Νεσόριος, καὶ οἱ τὰ αὐτῷ φρονοῦντες, δυνάσθαι ἐπειράθησαν, ἢ πειραθεῖεν κοινωνίαν ἢ βαθμόν,

αὐτω-

ἀνωφελήτως μένειν καὶ πάντας, καὶ εἶναι ἀδέν ἧττον καθηρημένους ἐδικαιώσαμεν.

ς'. Ὁμοίως δὲ καὶ εἴ τινες βουληθεῖεν τὰ περὶ ἑκάστου πεπραγμένα ἐν τῇ Ἁγίᾳ Σωόδῳ τῇ ἐν Ἐφέσῳ οἱῳδήποτε ζόπῳ παρασαλεῦσαι· ἡ Ἁγία Σωόδος ὥρισεν, εἰ μὲν Ἐπίσκοποι εἶεν ἢ κληρικοί, τὸν οἰκεῖον παντελῶς ἀποπίπτειν βαθμόν· εἰ δὲ λαϊκοί, ἀκοινωνήτους ὑπάρχειν.

ΔΙΑΛΑΛΙΑ τῆς αὐτῆς Ἁγίας Σωόδου, ἐκφωνηθεῖσα μετὰ τὸ ἀναγνωσθῆναι τὴν ἔκθεσιν τῶν ἑξακοσίων δέκα καὶ ὀκτὼ Ἁγίων καὶ Μακαρίων Πατέρων, τῶν ἐν Νικαίᾳ, καὶ τὸ δυσσεβὲς σύμβολον τὸ ὑπὸ Θεοδώρου τῆς μοψουεστίας πλασθέν, καὶ ὑπὸ Χαρισίου Πρεσβυτέρου φιλαδελφίας ἐπιδοθὲν τῇ αὐτῇ καὶ Ἐφεσίνῃ Ἁγίᾳ Σωόδῳ.

ζ'. ΤΟΥΤΩΝ πίνων ἀναγνωσθέντων, ὥρισεν ἡ Ἁγία Σωόδος, ἑτέραν πίστιν μηδενὶ ἐξεῖναι προσφέρειν ἢ γράφειν συγγράφειν ἢ σωτιθέναι, παρὰ τὴν ὁρισθεῖσαν παρὰ τῶν Ἁγίων Πατέρων τῶν ἐν τῇ Νικαέων σωαχθέντων πόλει, σὺν Ἁγίῳ Πνεύματι.

Τοὺς δὲ πολιτεύεσθαι ἢ σωτιθέναι πίστιν ἑτέραν ἢ γράφειν προκομίζειν, ἢ προφέρειν τοῖς θέλουσιν ἐπιστρέφειν εἰς ἐπίγνωσιν τῆς ἀληθείας, ἢ ἐξ Ἑλληνισμοῦ, ἢ ἐξ Ἰουδαϊσμοῦ, ἢ ἐξ αἱρέσεως οἱασδήποτε· τοὺς, εἰ μὲν εἶεν Ἐπίσκοποι ἢ κληρικοί, ἀλλοτρίους εἶναι τοὺς Ἐπισκόπους τῆς Ἐπισκοπῆς, καὶ τοὺς κληρικοὺς τοῦ

κλή-

κλήρου· εἰ δὲ λαϊκοί εἶεν, ἀναθεματίζεσθαι. καὶ τὸν ἴσον δὲ ζόπον, εἰ φωραθεῖέντινες εἴτε Ἐπίσκοποι εἴτε κληρικοί, εἴτε λαϊκοὶ ἢ φρονοῦντες ἢ διδάσκοντες τὰ ἐν τῇ προκομιθείσῃ ἐκθέσει παρὰ Χαρισίου τοῦ Πρεσβυτέρου, περὶ τῆς ἐναν θρωπήσεως τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ, ἤγουν τὰ πικρὰ καὶ διεστραμμένα τοῦ Νεστορίου δόγματα, ἃ καὶ ἐκτέθεται, ἐκκοπέσθωσαν τῆς ἀποφάσει τῆς ἁγίας ταύτης καὶ οἰκουμενικῆς Σωόδου· ὥστε δῆλον, ὅτι τὸν μὲν Ἐπίσκοπον ἀπαλλοτριοῦσθαι τῆς Ἐπισκοπῆς καὶ εἶναι καθηρημένον, τὸν δὲ κληρικὸν ὁμοίως ἐκπίπτειν τοῦ κλήρου· εἰ δὲ λαϊκός τις εἴη, καὶ ὅπως ἀναθεματίζέσθω, καθὰ εἴρηται.

ΨΗΦΟΣ τῆς αὐτῆς Ἁγίας Σωόδου, ἐκφωνηθεῖσα ἐπὶ προσελεύσεως γενομένης αὐτῇ παρὰ τῶν Κυπρίων Ἐπισκόπων.

ΠΡΑΓΜΑ παρὰ τὴν Ἐκκλησιαστικὴν θεσμὴν καὶ τὸν Κανόνας τῶν Ἁγίων Ἀποστόλων καινοτομούμενον καὶ τῆς πάντων ἐλευθερίας ἀπτόμενον, προσήγγειλεν ὁ Θεοφιλέστατος συνεπίσκοπος Ῥηγῖνος, καὶ οἱ σὺν αὐτῷ θεοφιλέστατοι Ἐπίσκοποι τῆς Κυπρίων ἐπαρχίας Ζήνων καὶ Εὐάγριος· ὅθεν ἐπειδὴ τὰ κοινὰ πάθη μείζονος δεῖται τῆς θεραπείας, ὡς καὶ μείζονα τοῦ βλάβους φέροντα, καὶ μάλιστα, εἰ μὴ δὲ ἔθος ἀρχαῖον παρηκολούθησεν, ὥστε τὸν Ἐπίσκοπον τῆς Ἀντιοχέων πόλεως, τὰς ἐν Κύπρῳ ποιεῖσθαι χειροτονίας καθὰ δοκεῖ τοῖς λιβέλλοις καὶ τῇ οἰκείων φωνῇ

κας ἀναδέξασθαι, καὶ αὐθρείως ἐξουσίας ἀποκομίσαι πρὸς τὰ περαματικὰ τῆς Ιταλίας μέρη, ὅσις δυνηθῇ, αὐτίκα τε τὴν ἀνάγκην καὶ τὸν πόνον καὶ τὴν σύνεσιν ἡμῶν παρασῆσαι τοῖς ἁγιωτάτοις ἀδελφοῖς καὶ συλλειτουργοῖς ἡμῶν· τοῦτο μὲν, Α'νασατίῳ τῷ πρεσκυτέρῳ ἁγίῳ τῆς Α'ποστολικῆς καθέδρας Ε'πισκόπῳ· τοῦτο δὲ ἔτι μᾶλλον, τῷ ἁγιωτάτῳ ἀδελφῷ Βονιφατίῳ τῷ ἱερεῖ τῆς τοῦ Μεδιολανίου Ε'κκλησίας· ἐκ γὰρ τῶν γὰρ τῆς θρόνων ἐκωλύθη, ὅπερ ἐπιγνοῖεν τὸ κοινῷ κινδύνῳ μεγάλως ὀφέλειν, προνοηθῆναι· ὅτι τοσαύτη ἐστὶ πληθικῶν σώματα, καὶ πολλαὶ Ε'κκλησίαι ἔτως ὑπάρχουσιν ἔρημοι, ὡς μηδένα Διάκονον κατ' ἀγράμματον ἔχειν δύνασθαι. περὶ δὲ τῆς λοιπῶν αὐστηρῶν βαθμῶν καὶ τάξεων, σιωπητέον ὑπολαμβάνω· ἐπειδὴ, ὡς εἶπον, ἐὰν ἡ τοῦ Διακόνου ὑπουργία οὐκ ἀχερῶς δύναται, πολλῷ πλέον περὶ τῆς αὐστηρῶν τιμῶν καταδηλον ὑπάρχει. καὶ τὸς καθημερινὸς θρησκείας τῆς διαφόρων καὶ χεδὸν ἀποθνησκόντων λαῶν τοῦ λοιποῦ οὐχ ὑποφέρομεν· οἷς εἰ μή δέ ποτε θελήσωμεν βοηθῆσαι, βαρυτάτη καὶ ἀναπολόγητος αἰτία τῆς ἀποκλυσμένων ψυχῶν ἐνδέχεται ἡμᾶς παρὰ τῆς Θεῷ.

ΩΣΤΕ τὸς μικρὸς παρὰ τοῖς δοκατισταῖς βαπτιζομένους ὑπὸ τῇ καθολικῇ Ε'κκλησίᾳ κληρικὸς χειροτονεῖσθαι. Διὸ ἐπειδὴ ὑπὸ τῇ αὐστηρᾷ Συνόδῳ ὀφείλοντα μέμνηται ἅμα ἐμοὶ ἡ ὑμετέρα ὁμοψυχία, ὡς τε τὸς παρὰ τοῖς

ξά.

δοτατισαῖς μικρὰς βαπτιζομένας, μηδέπω δυναμένας γινώσκειν τῆς πλανῆς αὐτῶν τὸν ὄλεθρον, μετὰ τὸ εἰς κεῖραν λογισμῶν δεπτικὴν παραγενέσθαι, ἐπιγνωσθείσης τῆς ἀληθείας τὴν φαυλότητα ἐκείνων βδελυττομένας πρὸς τὴν καθολικὴν τοῦ Θεοῦ Ἐκκλησίαν τὴν ἀνὰ πᾶσαν τὴν Κόσμον δλακεχυμένην, τάξει ἀρχαίᾳ δι' τῆς ἐπιθέσεως τῆς χειρὸς ἀναδεχθῆναι τὰς αὐτὰς ἐκ τοῦ τῆς πλανῆς ὀνόματος μὴ ὀφείλειν ἐμποδίζεσθαι εἰς τάξιν πληρώσεως, ὁπόταν τὴν ἀληθινὴν Ἐκκλησίαν ἰδίαν αὐτῶν ἐλογίσαντο τῇ πίστει προσερχόμενοι· καὶ ἐν αὐτῇ τῇ Χειρῷ πιστεύσαντες, τῆς Τριάδος τὰ ἁγιάσματα ὑπεδέξαντο. ἅτινα πάντα ἀληθῆ καὶ ἅγια καὶ θεῖα εἶναι δηλόνεσιν, καὶ ἐν τούτοις πᾶσαν τὴν τῆς ψυχῆς ἐλπίδα ὑπάρχειν· καὶ εἰ τὰ μάλιστα ἔν καὶ ἡ τῆς αἱρετικῶν προληφθεῖσα τόλμα, τῷ ὀνόματι τῆς ἀληθείας ἐναντιόμενά τινα παραδιδόναι προπετεύεται. Ταῦτα ἐπειδὴ ἁπλά εἰσιν, ὡς διδάσκει ὁ Ἅγιος Ἀπόστολος λέγων, εἷς Θεός, μία πίστις, ἓν βάπτισμα. καὶ τὸ ὀφεῖλον πρὸς ἅπαξ δίδοσθαι ἐπαναλειφθῆναι οὐκ ἔξεστιν· ἀναθεματιζομένου τοῦ τῆς πλανῆς ὀνόματος, διὰ τῆς ἐπιθέσεως τῆς χειρὸς ἀναδεχθῶσιν εἰς τὴν μίαν Ἐκκλησίαν, τὴν ὡς εἴρηται πεφυτευμένην καὶ μόνην μητέρα τῶν Χριστιανῶν. ἐν ᾗ πάντα τὰ ἁγιάσματα σωτηριωδῶς αἰώνια καὶ ζωτικὰ παραλαμβάνονται· ἅτινα τοῖς ἐπιμένουσιν ἐν τῇ αἱρέσει μεγάλῃ τῆς καταδίκης τὴν τιμωρίαν ποιεῖ-

ζουσιν. ἵνα ὅπερ ἐν αὐτοῖς ἐν τῇ ἀληθείᾳ πρὸς τὴν αἰωνίαν ζωὴν ἀκολουθητέον φωτεινώτερος, τοῦτο γένηται αὐτοῖς ἐν πλανῇ σκοτεινότερον καὶ πλέον καταδεδικασμένον· ὅπερ τινὲς ἔφυγον, καὶ τῆς Ἐκκλησίας τῆς Καθολικῆς μετέρος τὰ δ' ὑπάρχοντα ἐπιγνῶντες, πάντα ἐκεῖνα τὰ ἅγια μυστήρια φίλτρῳ τῆς ἀληθείας ἐπέστρεψαν καὶ ὑπεδέξαντο. τοῖς τοιούτοις, ὅταν δοκιμὴ χρηστὴ βίου προσέλθοι, ἀναμφιβόλως καὶ πλήρος πρὸς ὑπουργίαν τοῦ ἁγίου προσκυρωθήσεται· καὶ μάλιστα ἐν τῇ τοσαύτῃ τοῦ πραγμάτων ἀνάγκῃ, ἐάνπερ ἐστὶν ὁ μὴ τοῦτο παραχωρῶν· εἰ δέ τινες τῇ αὐτῇ δόγματος πλημμελοὶ μετὰ τοῦ πλήθους καὶ τῶν τιμῶν αὐτῶν πρὸς ἡμᾶς μετελθεῖν ποθήσουσιν, οἵτινες τοῦ ἔρωτος τῆς τιμῆς συμβαλοῦσι πρὸς ζωὴν καὶ κατέχουσι πρὸς σωτηρίαν· ἀλλὰ τοῦτο καταληπτέον πείνῳ τῇ μείζονι κατανοήσει ψηφιζομένων τοῦ προλεχθέντων ἀδελφῶν, ἵνα τῇ σωτερωτέρᾳ αὐτῶν βουλῇ τῆς ἡμετέρας ἀναφορᾶς τὸν λόγον διαγνῶσι, καὶ ἡμᾶς βεβαιῶσαι καταξιώσωσιν εἰς τὸ ὀφεῖλον περὶ τοῦ πράγματος παρ' ἡμῶν τυπωθῆναι· μόνον δὲ περὶ τοῦ ἐν νηπιότητι βαπτισθέντων ἀρκούμεθα, ἵνα εἰ ἀρέσκει αὐτοῖς, τῇ ἡμετέρᾳ συναινέσωσι προαιρέσει περὶ τοῦ χειροτονεῖσθαι τούτους. πάντα τοίνυν, ἃ ἀνωτέρω συνηγάγομεν παρὰ τοῖς ἁγιωτάτοις Ἐπισκόποις, πρακτέα εἶναι δικαιοῖ, ἅμα ἐμοὶ ἡ ἔντιμος ὑμῶν ἀδελφότης. ξβ'.

ΠΕΡΙ τῶν ἐγκαταλειμμάτων τῶν εἰδώλων καὶ

ναῶν

ναῶν τῶν ὀφειλόντων ἀξαλειφθῆναι. ὧν χάριν αἰτῆσαι δεῖ τὸν θρησκευτικωτάτους βασιλεῖς.

ΩΣΤΕ τὰ ἐγκαταλείμματα τῆς εἰδώλων τὰ μὴ πᾶσαν τιμὴν Ἀφεσιν λαβοῦσα παντελῶς ἀναπλῆναι· μὴ γὰρ ἐν πολλοῖς τόποις παραθαλασσίοις καὶ ἀφανέσι κτίσεσιν, ἀκμάζει ἔτι τῆς πλάνης ταύτης ἡ ἀθυμία, ἵνα παραγγελθῶσι καὶ αὐτὰ ἀπαλειφθῆναι. καὶ οἱ ναοὶ αὐτῶν οἱ ἐν τοῖς ἀγροῖς καὶ ἐν ὑποκεκρυμμένοις τόποις χωρίστινος ἀκοσμίας καθεστῶτες, παντὶ τρόπῳ κελευσθῶσι καταγραφῆναι.

ξγ'. ΠΕΡΙ τοῦ, τὸν κληρικὸν χάριν ἀφαγνώσεως τῆς οἰκείας αὐτῶν κρίσεως, μὴ ἀναγκάζεσθαι δημοσίως μαρτυρεῖν.

Δεῖ αἰτῆσαι ἔτι μᾶλλον, ἵνα ὀρθῶσα καταξιώσωσιν ὥστε ἐάν τινες ἐν Ἐκκλησίᾳ οἱανδήποτε αἰτίαν Ἀποστολικῷ ἀκριβῶς τῷ τὰς Ἐκκλησίας ἐπικειμένῳ γυμνάσαι θελήσωσιν, καὶ ἴσως ἡ τομὴ τῶν κληρικῶν τῷ ἑνὶ μέρει ἀπαρέσοι, μὴ ἀξιοῦναι πρὸς δικαστήριον εἰς μαρτυρίαν προκαλεῖσθαι τὸν κληρικὸν ἐκεῖνον, τὸν πρότερον τὸ αὐτὸ πρᾶγμα σκοπήσαντα, ἢ καὶ σκοπουμένῳ παρατυχόντα· καὶ ἵνα μὴ δὲ προσώπῳ τὶς Ἐκκλησιαστικῷ προσῆκον ἐναχθείη ἐπὶ τοῦ ὀφείλειν μαρτυρεῖν.

ξδ'. ΠΕΡΙ τοῦ, ἀφελέσθαι τὰ τῶν ἑλλήνων συμπόσια.

Καὶκεῖνο ἔτι μᾶλλον δεῖ αἰτῆσαι παρὰ τῶν Χριστιανῶν

νῶν βασιλέων, ἐπειδὴ παρὰ τὰ θεῖα παραγγέλματα ἐν πολλοῖς τόποις συμπόσια ὅπως ἐπιτελῶνται ἐν τῆς ἐθνικῆς πλάνης προσευχθέντα, ὡς καὶ Χριστιανοὶς τοῖς ἔθνεσι λάθρα προσωπάγεσθαι διὰ τῆς τῶν τελετῆ· ἵνα κελεύσωσι τὰ τοιαῦτα κωλυθῆναι, καὶ ἐν τῇ πόλεων καὶ ἐν τῶν κτίσεων· μάλιστα, ὅτι καὶ διὰ αὐτοῖς τοῖς γνησίοις τῆς μακαρίων μαρτύρων αὐτά τινας πόλεις, καὶ εἰς αὐτὰς τὰς ἱερὰς τόπους τὰ τοιαῦτα πλημμελήματα φορῶνται· διὰ αἷς ἡμέραις, ὅπερ καὶ λέγειν αἰσχύνη ἐστίν, ὀρχήσεις μυσαρὰς εἰς τὰς ἀγυιὰς καὶ εἰς τὰς πλατείας ἐκτελοῦσιν, ὥστε τῇ τῆς οἰκοδεσποινῶν τιμῇ καὶ ἄλλων ἀναριθμήτων γυναικῶν τῇ αἰδοῖ τῆς βλάβων εἰς τὴν ἁγίαν ἡμέραν παρασκευομένων, λάγναις ὕβρεσιν ἑφορμᾷν· ὡς καὶ αὐτῆς τῆς ἁγίας πίστεως χεδὸν φθάγεσθαι τὴν προσέλθσιν.

ξε. ΠΕΡΙ θεωρίων, ἵνα διὰ τῇ Κυριακῇ καὶ διὰ ταῖς λοιπαῖς τῆς ἁγίων ἑορταῖς μηδαμῶς ἐπιτελῶνται.

Καὶκεῖνο ἔτι μᾶλλον δεῖ αἰτῆσαι, ἵνα τὰ θεάσεια τῆς θεατρικῶν παιγνίων διὰ τῇ Κυριακῇ καὶ διὰ ταῖς λοιπαῖς φανεραῖς ἡμέραις τῆς τῶν Χριστιανῶν πίστεως κωλύωνται· μάλιστα, ὅτι διὰ τῇ ὀγδοάδι τοῦ ἁγίου πάσχα οἱ ὄχλοι μᾶλλον εἰς τὸ Ἱπποδρόμιον, ἤπερ εἰς τὴν Ἐκκλησίαν συνέρχονται· ὀφείλειν μετενεχθῆναι τὰς ὡρισμένας αὐτῶν ἡμέρας ὅτε ἀπαντήσῃ, καὶ μὴ ὀφείλειν τινὰ τῶν Χριστιανῶν πρὸς τὰ θεάσεια ταῦτα ἀναγκάζεσθαι.

ΠΕ-

ξς'. ΠΕΡΙ τῶν καταδικαζομένων κληρικῶν.

Κἀκεῖνο δεῖ αἰτῆσαι, ἵνα ὁρίσαι καταξιώσωσιν, ὥς τε κληρικὸν οἱασδήποτε τιμῆς τυγχάνοντα, ἐπ' οἱῳδήποτε ἐγκλήματι, τῇ τῶν Ἐπισκόπων κρίσει καταδικασθέντα, μὴ ἀξιοῦσθαι τὸν αὐτὸν, εἴτε παρὰ τῆς Ἐκκλησίας ἧς ὑπῆρχεν, εἴτε ἀπό οἱασδήποτε ἀνθρώπων διεκδικῆσθαι ποινῆς, ἐπὶ τῷ παρεντεθείσης ζημίας χρημάτων τε καὶ τιμῆς, ὅπως μὴ δὲ κεῖραν, μὴ δὲ φύσιν ἀπολογητέαν εἶναι κελεύσωσιν.

ξζ'. ΠΕΡΙ τῶν μίμων τῶν γινομένων Χριστιανῶν.

ΠΕΡΙ τούτων ἔτι μὴν αἰτῆσαι δεῖ, ἵνα ἑαυτὸς ἐξ οἱασδήποτε παιγνιώδους ἐπιτηδεύματος, πρὸς τὸν τῶν Χριστιανισμὸν χάριν ἐλθεῖν θελήσοι, καὶ ἐλεύθερος ἀπ' ἐκείνων τῶν σκιλάδων διαμεῖναι, μὴ ἐξὸν εἴη τινὶ τὸν τοιοῦτον πρὸς τὰ αὐτὰ γυμνάσματα πάλιν προτρέπεσθαι ἢ καταναγκάζειν.

ξή. ΠΕΡΙ ἐλευθερίων τῶν ἐν τῇ Ἐκκλησίᾳ γινομένων αἰτητέον ἀπὸ τοῦ βασιλέως.

ΠΕΡΙ ἐλευθερίων δηλαδὴ τῶν ἐν τῇ Ἐκκλησίᾳ πηρυκτέων, ἐὰν τοῦτο οἱ ἡμέτεροι σοφιεροῖς φαίνωνται ποιοῦντες διὰ τὸν Γαλίαν, καὶ ἡ ὑμετέρα δῆλον πεποίθησις τῇ τούτων τάξει ἕπηται, δοθείσης φανερῶς ἀδείας πεμπομένου τοποτηρητοῦ, ἵνα οἱασδήποτε ἀξίας πίστεως ὑπὲρ τῆς Ἐκκλησιαστικῆς καταστάσεως καὶ τῆς τῶν ψυχῶν σωτηρίας ἐκτελέσαι δυνηθείη· καὶ ἡμεῖς ἐπαινετῶς σεβόμενοι τὸν Κύριον ὑποδεξώμεθα ταῦτα

παῦτα,

παῦτα· ἐὰν τῇ ὑμετέρᾳ ἁγιωσύνῃ ἀρέσκῃ, ἐξέπεμψα, ἵνα καὶ τὸν ἐμὸν ἀναφορὰν βεβαίαν ἔσαν ὑμῖν ἐπιδείξω· καὶ τὰ παρὰ τῆς πάντων ἡμῶν συναινέσεως, ἢ αὐτῶν εἰλικρινότης ἰδέως προσδέξηται.

Ἀπὸ πάντων τῶν Ἐπισκόπων ἐλέχθη. πᾶσιν ἀρέσκει, τὰ προτεθέντα καὶ σωστῶς ἀπὸ τῆς σῆς ἁγιωσύνης ἐξηγηθέντα ὀφείλειν ἐκτελεσθῆναι.

ΠΕΡΙ Αἰνυτίου Ἐπισκόπου τοῦ καταδικασθέντος. ξθ'.

Αὐρήλιος Ἐπίσκοπος εἶπεν· τοῦ Αἰνυτίου ἔτι μὲν τοῦ ἔκπαλαι καὶ τὴν ἰδίαν ἀξίαν τῆ τῶν Ἐπισκόπων γνώμῃ καταδικασθέντος, τὸ πρᾶγμα δὴ οἶμαι παρεατέον τῇ πρεσβείᾳ· ἵνα, ἐὰν τυχὸν τοῦτον εὕροι ἐν ἐκείνοις τοῖς μέρεσιν, ἕως πρὸς φροντίδος τοῦ αὐτοῦ ἀδελφοῦ ἡμῶν ὑπὲρ τῆς Ἐκκλησιαστικῆς καταστάσεως, ὡς χρὴ καὶ ὅπως ἔχον εἴη κατ' ἐκείνους διαπράξασθαι.

Ἀπὸ πάντων τῶν Ἐπισκόπων ἐλέχθη. πολὺ ἀρέσκει καὶ αὕτη ἡ ἐξακολούθησις. μάλιστα, ὅτι ἔκπαλαι καταδεδίκασαι ὁ αὐτὸς Αἰνύτιος καὶ ἡ τούτου ἀναίσχυντος αὐθαδία ὑπὲρ τῆς καταστάσεως καὶ σωτηρίας τῆς Ἐκκλησίας, μᾶλλον καὶ μᾶλλον παντοίως καταμαχητέα ἐστίν.

Καὶ ὑπέγραψαν. Αὐρήλιος Ἐπίσκοπος, τῆς ἐν Καρχηδόνι Ἐκκλησίας, τῷ παρόντι ψηφίσματι συνήνεσα, καὶ ἀναγνωσθέντι ὑπέγραψα. ὁμοίως καὶ οἱ λοιποὶ Ἐπίσκοποι ὑπέγραψαν.

ΕΝ

πρᾶξις. τεσσαρ. τη.

ΕΝ ΤΑΥΤΗ, ΤΗ ΣΥΝΟΔΩ, γράμματα ἀναγινώσκονται Ἀνασασίου τοῦ ἱερέως Ῥώμης, περὶ τῶν δονατισῶν ὑπομνήσκοντα τοὺς καθολικοὺς Ἐπισκόπους.

Ἐπὶ Βικεντίου καὶ Φλαβίου τῶν λαμπροτάτων ὑπάτων, ἰδοῖς Σεπτεμβρίαις τῷ Καρχηδόνι εἰς τὸ σήκριτον τῆς Ῥεσιπίτης Ἐκκλησίας πρὸς Σινόδου συναχθέντες καὶ προκαθίσαντες οἱ ἐκ πασῶν τῶν τῆ Ἀφρικῆ ἐπαρχιῶν Ἐπίσκοποι, τοῦτέστιν Αὐρήλιος ὁ τοῦ αὐτοῦ θρόνου Ἐπίσκοπος μετὰ τῶν ἑτέρων αὐτοῦ, ὡς δηλοῖ ἡ οἰκεία ὑπογραφή, εἶπεν. Ἀναγνωσθέντων γραμμάτων τοῦ μακαριωτάτου ἀδελφοῦ καὶ συλλειτουργοῦ ἡμῶν Ἀνασασίου τοῦ τῆς Ῥωμαίων Ἐκκλησίας Ἐπισκόπου, δι' ὧν ἀδελφικῆς, μᾶλλον δὲ πατρικῆς ἀγάπης μεστὴν καὶ εἰλικρινότητι ἡμᾶς προσέφατο, ἵνα περὶ τῆς τῶν αἱρετικῶν καὶ χισματικῶν δονατισῶν ἐπιβουλῆς καὶ ἀναισχυντίας τῆς τῷ καθ' ὅλην τὴν Ἀφρων χώραν καθολικῇ Ἐκκλησίαν βαρέως προσθούσης, μηδαμῶς παραπροσποιησόμεθα χάριτας, ὁμολογοῦμεν τῷ δεσπότῃ ἡμῶν Θεῷ, ὅτι τοιούτῳ δούλῳ εὐσεβῆ φροντίδα ἐμπνεῦσαι καταξίωσεν, τῷ ὅπως καλλίστῳ καὶ ἁγιωτάτῳ αὐτοῦ ἱερεῖ ὑπὲρ τῶν μελῶν τοῦ Χριστοῦ, τῶν κατὰ τὰ διαφόροις τῆς γῆς μέρεσιν, ἀλλ' ἐν μιᾷ σώματος ἁρμονίᾳ καθισαμένων.

ὁ. ΠΕΡΙ τοῦ, μετὰ τῶν δονατισῶν πρέπως διαπράξασθαι.

Μετὰ

Μετὰ ταῦτα ψηλαφηθέντων καὶ καταγνωσθέντων παντων τῶν τῇ Ἐκκλησιαστικῇ χρησιμότητι σωζέχειν δοκούντων, ἐπινεύσαντος καὶ συνχήσαντος τοῦ Πνεύματος τοῦ Θεοῦ, ἐπελεξάμεθα κατίως καὶ εἰρηνικῶς διαπράξασθαι, μετὰ τῶν μνημονευθέντων ἀνθρώπων, καὶ τὰ μάλιστα ἐν τῇ τοῦ Κυπριανοῦ σώματος συνόδου αὐτοῦ συχάσῳ διχονοίᾳ ἀποχίζωσιν, ἵνα ὅσον τὸ σὺν ἡμῖν πᾶσι καθόλου γνωσθῇ τοῖς τῇ ἐκείνων κοινωνίᾳ καὶ ἑταιρείᾳ σαγηνευθεῖσιν ἀνὰ πάσας τὰς τῆς Ἀφρικῆς ἐπαρχίας πῶς ἐλεεινῇ πλανῇ κατηνέχθησαν· ἴσως, καθὼς λέγει ὁ Ἀπόστολος, ἡμῶν σὺν ἡμερότητι σωαγόντων τοὺς τὰ διάφορα φρονοῦντας, δώσει αὐτοῖς μετάνοιαν πρὸς τὸ ἐπιγνῶναι τὴν ἀλήθειαν, καὶ ἵνα ἀνασφήλωσιν οἱ ἐκ τοῦ διαβόλου βρόχων αἰχμαλωτισθέντες αὐτῷ εἰς τὸ αὐτοῦ θέλημα.

ΠΕΡΙ γραμμάτων ὀφειλόντων τοῖς ἄρχουσιν ἀποσαλῆναι, ὥστε καπάθηλα γενέσθαι τὰ μεταξὺ τῶν δονατισῶν καὶ Μαξιμιανισῶν πραχθέντα. οά.

Ἤρεσεν τοίνυν, ἵνα ἐν τῇ ἡμετέρᾳ Σινόδῳ γράμματα πρὸς τοὺς τῆς Ἀφρικῆς ἄρχοντας δοθῶσιν, ἀφ' ὧν αἰτῆσαι ἁρμόδιον ἔδοξεν, περὶ τοῦ βοηθῆσαι τῇ κοινῇ μητρὶ τῇ καθολικῇ Ἐκκλησίᾳ ἐν οἷς ἡ τῶν Ἐπισκόπων αὐθεντεία ἐν ταῖς πόλεσι καταφρονεῖται· τοῦτέστιν, ἵνα ἀρχοντικῇ δυναστείᾳ καὶ ἐπιμελείᾳ, καὶ Χριστιανικῇ πίστει αὐαζητήσωσι τὰ γενόμενα ἐν ὅλοις τοῖς τόποις, ἐν οἷς οἱ Μαξιμιανισταὶ τὰς Ἐκκλησίας

κατε-

κατέχον· ἔτι δὲ κ᾽ τὰς ἀπ᾽ αὐτῶν ἀποχίσαντας, κ᾽ δημοσίοις πεπραγμένοις τὴν περὶ πάντων γνῶσιν βεβαίαν πᾶσαν ἀναγκαίως ποιήσωσι ἐντεθλῆναι.

οβ'. ΠΕΡΙ΄ τ῀, τὰς κλησικὰς τῶν δοματισῶν ἐν τῷ κλήρῳ τῆς καθολικῆς Ἐκκλησίας ἀναδέχεσθαι.

Εἰς ὕστερον ἤρεσεν, ἵνα γράμματα πεμφθῶσι πρὸς τὰς ἀδελφὰς κ᾽ συνεπισκόπους ἡμῶν, κ᾽ μάλιστα πρὸς τὴν Ἀποστολικὴν καθέδραν, ἐν ᾗ προπάθηται ὁ μνημονδθεὶς προσκυνητὸς ἀδελφὸς κ᾽ συλλειτουργὸς ἡμῶν Ἀναστάσιος· ἐπειδὴ γινώσκει τὴν Ἀφρικὴν μεγάλην ἔχειν ἀνάγκην, ὥστε δι᾽ τὴν τῆς Ἐκκλησίας εἰρήνην κ᾽ χρησιμότητα, κ᾽ δι᾽ αὐτῶν τῶν Δοματισῶν, οἵτινες δήποτε κληρικοὶ διορθωμένης τῆς βουλῆς πρὸς τὴν Καθολικὴν ἑνότητα μετελθεῖν δεήσουσιν κ᾽ τὴν ἑνὸς ἑκάστου καθολικῆ Ἐπισκόπου προαίρεσιν, κ᾽ βούλῃ τ῀ ἐν τῷ αὐτῷ τόπῳ κυβερνῶντος τὴν Ἐκκλησίαν, ἐὰν τ῀το συμβάλλεσθαι τῇ τῶν Χερσιανῶν εἰρήνῃ φανείη, ἐν ταῖς ἰδίαις τιμαῖς αὐτὸς ἀναδέχθῆναι· καθὼς κ᾽ ἐν τοῖς προλαβοῦσι χρόνοις περὶ τῆς αὐτῆς διαφάσεως γενέσθαι φανερόν ἐστιν. ὅπερ πολλῶν κ᾽ χεδὸν πασῶν τῶν ἐν τῇ Ἀφρικῇ Ἐκκλησιῶν, ἐν αἷς ἡ τοιαύτη πλάνη ἀνεφύη, τὰ παραδείγματα μαρτύρονται· ὄχ ἵνα ἡ Σύνοδος ἡ ἐν τοῖς περαματικοῖς μέρεσι περὶ τούτου τ῀ πράγματος γενομένη διαλυθῇ, ἀλλ᾽ ἵνα ἐκεῖνο μείνῃ περὶ τὰς ἔτως μετελθεῖν πρὸς τὴν καθολικὴν Ἐκκλησίαν βουλο-

μέ-

μένους, ὥστε μηδεμίαν ἐπὶ τούτων τῆς ἑνότητος συμπυμίαν περιεργάζεσθαι· δι᾽ ὧν δὲ παντὶ τρόπῳ ἐκπεπλεσθῆναι κ᾽ προσβοηθηθῆναι ἡ Καθολικὴ σύνοδος φανερῷ κέρδει τῆς ἀδελφικῶν ψυχῶν φανείη σὺν τοῖ τόποις οἷς δρᾶσι, μὴ ἐμποδίσῃ τινὰς τὸ δεῖσθαι κ᾽ τῶν τιμῶν αὐτῶν σὺν τῇ περαματικῇ Συνόδῳ, ὁπόταν τὸ σωθῆναι ἑδοκεῖ προσώπῳ ὑποπέπλεικται τ῀τέτιν, ἵνα οἱ χειροτονηθέντες σὺν τῇ τῆς δοματισῶν μέρει, ἐὰν πρὸς τὴν καθολικὴν πίστιν διορθωθέντες μετελθεῖν δεήσουσιν, μὴ κ᾽ τὴν περαματικὴν Σύνοδον μὴ δεχθῶσιν σὺν ταῖς οἰκείαις τιμαῖς· ἀλλὰ μᾶλλον ὅτι προσδεχθῶσιν, δι᾽ ὧν τῇ καθολικῇ σύνοδι γίνεται πρόνοια.

ΠΕΡΙ΄ τ῀, πρεσβεῖαν πρὸς τὰς δοματισὰς ὑποσαλῆναι χάριν τ῀ τὴν εἰρήνην σωθῆναι. ογ'.

Ἤρεσεν ἔπειτα, ὥστε τῶν πραχθέντων τοποτηρητὰς περὶ τ῀ κηρύξαι εἰρήνην κ᾽ σύνοδον, ἥτις τινὸς χωρὶς ἡ τῆς Χερσιανῶν σωτηρία καθίσασθαι ἐ δύναται, πεμφθῆναι ἐν τ῀ ἡμέρᾳ ἀριθμ῀ πρὸς τὰς τῆς αὐτῶν δοματισῶν, εἴτέ τινας ἔχουσιν Ἐπισκόπους, εἴτε λαϊκούς· δι᾽ ὧν τοποτηρητῶν πᾶσιν σὺν γνώσει γένηται, ὧν ἑδὲν ἔχουσιν εὔλογον κ᾽ τῆς καθολικῆς Ἐκκλησίας· μάλιστα ἵνα φανερὸν πᾶσι γένηται διὰ τῆς πολιχνιωτικῶν πεπραγμένων πρὸς πίστωσιν τῆς ἀνορθώσεως, ἅπερ αὐτοὶ τῶν Μαξιμιανιστῶν τῆς ἰδίων χηματικῶν ἔπραξαν. εἶθα αὐτοῖς

θεόθεν ὑποδείκνυται, ἐὰν ἐπισκῆψαι θελήσοιεν, ὅπως ἀδίκως τότε αὐτὸς ἀπὸ τῆς Ἐκκλησιαστικῆς ἑνώσεως ὑποχίσαντας, ὥσπερ πράζουσιν ἀδίκως ἀπ' αὐτῶν τῆς Μαξιμιανιστὰς νῦν ὑποχίσαι. ἐν δὲ τῷ ἀριθμῷ τῶν, ὅστινας φανερᾷ τῆς οἰκείας βουλῆς αὐθεντείᾳ κατεδίκασαν, μετὰ ταῦτα οὐ ταῖς ἰδίαις τιμαῖς ἀνεδέξαντο· ἢ τὸ βάπτισμα, ὃ οἱ παρ' αὐτῆς κατακεδικασμένοι ἢ ἐνβεβλημένοι δεδώκασι, προσεδέξαντο, πρὸς τὸ δειχθῆναι, πῶς μωρᾷ καρδίᾳ ἀντιτάσσονται τῇ εἰρήνῃ τῆς Ἐκκλησίας τῆς οὐ παντὶ τῷ κόσμῳ διακεχυμένης, ταῦτα ποιοῦντες ὑπὲρ τῆς μέρους τοῦ Δονάτου, ἢ μὴ λέγοντες ἑαυτοὺς μολύνεσθαι τῇ κοινωνίᾳ τῶν παρ' αὐτῆς ὅτας διὰ τὸ ἀκάθαρτον τῆς εἰρήνης ἀναδεχθέντων. ἡμῖν δὲ φιλονεικοῦντες, τοῦτ' ἔστιν τῇ Καθολικῇ Ἐκκλησίᾳ, ἔτι μᾶλλον ἢ τῇ οὐ τοῖς ἐσχάτοις μέρεσι τῆς γῆς καθεστώσῃ, διὰ τῆς μεμιασμένης τῶν κοινωνίας, ὧντινων πρώην κατηγοροῦντο πάντες ἐλέγξαι αὐτοὺς ὡς ἠδυνήθησαν.

οδ'. ΠΕΡΙ τοῦ, ποῖοι ὀφείλουσι κληρικοὶ γαμετῶν ἀπέχεσθαι.

Πρὸς ἐπὶ τούτοις ἐν τῷ περὶ ἐγκρατείας τῆς περὶ τὰς οἰκείας γαμετάς τινων μνημονεύεσθαι κληρικῶν.

Ἤρεσεν, ὥστε τοὺς Ἐπισκόπους καὶ Πρεσβυτέρους καὶ Διακόνους καὶ τοὺς ἰδίους ὅρους, καὶ ἐκ τῶν ἰδίων ἔτι μὴν ἀπέχεσθαι γαμετῶν, ὅπερ εἰ μὴ ποιήσαιεν, ἀπὸ τῆς Ἐκκλησιαστικῆς διακονήσωσι τάξεως· τοὺς δὲ λοιποὺς κλη-

κλεικοὺς πρὸς τοῦτο μὴ ἀναγκάζεσθαι, ἀλλ' ἐφείλειν τῷ τοῦ ἑκάστης Ἐκκλησίας σωμήθειν παραφυλάττεσθαι.

ΠΕΡΙ τῶν τοὺς ἰδίους λαοὺς ἐγκαταλιμπανόντων. οε.

Πάλιν ἤρεσεν, ὥστε μηδενὶ ἐξεῖναι Ἐπισκόπῳ καταλειφθείσης τῆς αὐθεντικῆς αὐτοῦ καθέδρας, πρός τινα Ἐκκλησίαν οὐ διοικήσει καθεσῶσαν ἑαυτὸν ἀποφέρειν· ἢ οὐ οἰκείῳ πράγματι, ὑπὲρ ὃ χρὴ ἐπιπολὺ ἀπαχολουμένῳ ἀμελεῖν τῆς φροντίδος καὶ τῆς συνεχείας τοῦ ἰδίου θρόνου.

ΠΕΡΙ τῶν ὑπὲρ ὀφειλόντων βαπτίζεσθαι ὁσάκις ἀμφιβάλλεται περὶ αὐτῶν, εἰ ἄρα ἐβαπτίσθησαν. οϛ'.

Ὁμοίως ἤρεσεν περὶ τῶν ὑπὲρ, ὁσάκις μὴ εὑίσκονται βέβαιοι μάρτυρες, οἱ ταῦτα ἀναμφιβόλως βαπτισθέντα εἶναι λέγοντες· καὶ δὲ αὐτὰ διὰ τὴν κεῖραν περὶ τῆς παραδοθείσης αὐτοῖς μυσταγωγίας ἀνακρίνεσθαι ἐπιμελῶς ἔχωσι, χωρίς τινος προσκόμματος ὀφείλειν ταῦτα βαπτίζεσθαι· μή ποτε ὁ τοιοῦτος διασμὸς ἀνασείσῃ αὐτὰ τῆς τοιαύτης τοῦ ἁγιασμοῦ καθάρσεως· ἐκ τούτου γὰρ οἱ τοποτηρηταὶ τῶν Μαύρων ἀδελφοὶ ἡμῶν τοῦτο ἐβεβαίωσαντο, ὅτι πολλοὶ τοιοῦτοι ἀπὸ τῶν βαρβάρων ἐξαγοράζονται.

ΠΕΡΙ τοῦ, τὴν ἡμέραν τοῦ πάσχα οὐ τῇ ἡμέρᾳ τῆς Σιωόδου ἀγγέλλεσθαι. οζ'.

Ὁμοίως ἤρεσεν, ὥστε τὴν ἡμέραν τῆς προσκυνητῆς πάχα διὰ τῆς τῶν τετυπωμένων ζωγραφῆς πᾶσιν ἐμφανίζεσθαι· ἡ δὲ τῆς Σιωὸδ ἡμέρα, ἡ αὐτὴ φυλαχθῇ, ἥτις ὠρίσθη ἐν τῇ ἐν Ἱππῶνι Σιωόδῳ. ἔστι δέ, ἡ πρὸ δέκα Καλανδῶν Σεπτεμβρίων· ὀφείλει γὰρ καὶ γραφῆναι πρὸς τοὺς πρωτόθρονους πασῶν τῶν ἐπαρχιῶν, ἵνα ὅτε παρ' ἑαυτοῖς Σιώδου προσκαλῶνται, πάντα τὴν ἡμέραν φυλάττωσιν.

ιή. ΠΕΡΙ τοῦ, μὴ ὀφείλειν Ἐπίσκοπον ἐπιξενούμενον καθέζεσθαι ἐν ᾗ καθέδρᾳ ἐπιξενοῦται.

Ὁμοίως ὥρισθη, ὥστε μηδενὶ ἐξεῖναι μεσίτην τὴν καθέδραν κατέχειν, ἢ τινι μεσίτης δέδοται διὰ οἱασδήποτε τῶν λαῶν ταραχὰς ἢ διχοστασίας, ἀλλὰ ταραχάζειν ἐντὸς ἐνιαυτοῦ τοῖς αὐτοῖς προνοεῖσθαι Ἐπίσκοπον. εἰ δὲ περὶ τοῦτο ἀμελήσοι, μετὰ τὴν περάτωσιν τοῦ ἐνιαυτοῦ ἕτερος ψηφισθῇ μεσίτης.

κθ'. ΠΕΡΙ ἐνδίκων τῶν Ἐκκλησιῶν τῶν ὀφειλόντων ἀπὸ τοῦ βασιλέως αἰτηθῆναι.

Σύμπασιν ἔδοξεν αἰτῆσαι ἀπὸ τῶν βασιλέων διὰ τὴν τῶν πενήτων κάπωσιν, ὧν ταῖς ἐπαχθείαις ἀπαύστως ἡ Ἐκκλησία παρενοχλῆται. ὥστε ἐνδίκως τύπις μετὰ τῆς τῶν Ἐπισκόπων προνοίας ἐπιλεγῆναι, καὶ τῆς τῶν πλησίων τυραννίδος.

λ'. ΠΕΡΙ τῶν μὴ ἀπαντώντων εἰς ταῖς Συνόδοις Ἐπισκόπων.

Ὁμοίως ἤρεσεν, ἵνα ὁσάκισδήποτε Συνόδου δεῖ

συναχθῶσι, οἱ Ἐπίσκοποι, οἵτινες ἔστε κεῖρα ἔστε ἀσθενείᾳ, ἔστέτινι βαρυτέρᾳ ἀνάγκῃ ἐμποδίζονται, ἀμοδίως ἀπαντῶσιν, καὶ τοῖς πρωτόθροσιν ἑκάστης ἰδίας αὐτῶν ἐπαρχίας ἐμφανισθεῖν περὶ πάντων τῶν Ἐπισκόπων, εἴτε δύο εἴτε ἕξ συναθροίσεις γένωνται, καὶ ἀπὸ ἑκάστου δὲ ἀθροισμοῦ εἰς ἀμοιβὴν ὁσοιδήποτε ἐπιλεγῶσι πρὸς τὴν ἡμέραν τῆς Συνόδου ἐνστατικῶς ἀπαντήσωσιν· ἐὰν δὲ μὴ δυνηθῶσιν ἀπαντῆσαι, ἀθρόων τινῶν ἀναγκῶν ὡς εἰκὸς ἀναφυομένων, εἰ μὴ τὸν λόγον τοῦ οἰκείου ἐμποδισμοῦ παρὰ τῷ οἰκείῳ πρωτόθρονι διαδώσωσιν, ὀφείλειν τοὺς τοιούτους τῇ κοινωνίᾳ τῆς ἰδίας αὐτῶν ἀρκεῖσθαι Ἐκκλησίας.

ΠΕΡΙ Κρεσκωνίου. πά.

ΠΕΡΙ Κρεσκωνίου τοῦ Βιλλαρεντίου τοῦτο πᾶσιν ἔδοξεν, ἵνα ἐντεῦθεν ὁμοίως ἐμφανεὶς τῷ πρωτόθρονι τῆς Νουμιδίας, πρὸς τὸ εἰδέναι αὐτὸν ὀφείλειν γράμμασι οἰκείοις πρὸς συνέλευσιν προσφέρεσθαι τὸν μητροπολίτην Κρεσκώνιον, ὡς τε μὴ ὑπερτίθεσθαι τὴν παρουσίαν αὐτοῦ τῇ πλησιαζούσῃ συμπάτῃ Ἀφρικανῇ Σιωόδῳ παραχθῆναι. ἐὰν δὲ τοῦ ἐλθεῖν καθυφρονήσῃ, ἔσεσθαι εἰδὼς κατ' αὐτοῦ ψῆφον νομοθετηθησομένην.

ΠΕΡΙ τῶν ἐν Ἱππῶνι φροντιστῶν τῆς Ἐκκλησίας. πβ'.

Πάλιν ἤρεσεν, ἵνα ἐπειδὴ τῆς Ἐκκλησίας τῶν ἐν Ἱππῶνι φροντιστῶν ἡ ἐκπαίδευσις οὐκ ὀφείλει ἐπιτολὺ ἀμεληθῆναι, καὶ ἐπειδὴ αἱ ἐκεῖ Ἐκκλησίαι

καταδέχονται παρὰ τῶν τὴν ἄτοπον τῆς Αἰκυτίδος κοινωνίαν παραιτησαμένων, πεμφθέντων ἐκ τῆς παρούσης Σωφρονίου Ε'πισκόπων, Ρ'ηγίνου, Α'λυπίου, Αὐγουστίνου, Ματέρνου, Θεατίου, Εὐοδίου, Πλακιανοῦ: Οὐρβανοῦ, Βαλερίου, Α'μβιβίου, Φερενάτου, Κυοδβυλτδέου, Ο'νωρίου Γοννυαρείου, Α''που, Ο'νωράτου Α'μπελίου, Βικτοριανοῦ, Εὐαγγέλου, καὶ Ρ'ογατιανοῦ· καὶ σωαχθέντων καὶ διορθωθέντων ἢν ἐπὶ ψόγῳ μοιχοπνίᾳ τῷ φυγῷ τοῦ αὐτοῦ Αἰκυτίδος προσδοκητέων λογισαμένων, μετὰ τῆς πάντων δίχης Ε'πίσκοπος πάντως χειροτονηθῇ. ἐὰν δὲ μὴ θελήσωσιν ἐκεῖνοι τὸν ἀριθμὸν κατανοῆσαι, μὴ ἐμποδίσωσι τῇ ἐπιλογῇ τοῦ προέδρου πρὸς τὸ χειροτονηθῆναι εἰς χρησιμότητα τῆς ἐπὶ ποσὸν χρόνον ἐγκαταλειφθείσης Ε'κκλησίας.

π γ'. ΠΕΡΙ' ἢν μὴ φροντιζόντων κληρικῶν αὐτὸς ἑαυτοῦ πρᾶξαι τὸ ἴδιον πρᾶγμα.

Πάλιν ὡρίσθη, ἵνα ὁσάκις κληρικῶν ἐλεχθέντων καὶ καταδεμένων τινὰ ἐγκλήματα, εἴτε διὰ τὸ τῆς Ε'κκλησίας ὄνειδος, εἴτε διὰ τὴν ἀδεσιμότητα, ὧν χάριν τοῖς φειδὼ γίνεται, εἴτε διὰ τὸν ἀλαζόνα ἢν αἱρετικῶν ἢ ἐθνικῶν ἐπιγαυρίασιν, ἐὰν ὡς εἰκὸς ἐπαγωνίσασθαι τὸ ἰδίῳ πράγματι, καὶ τῆς ἰδίας ἀβλαβείας φροντίσαι θελήσωσιν, αὐτὸς ἀποινωνησίας ἑαυτοῦ τοῦτο ποιήσωσιν· ἐὰν δὲ αὐτὸς ἑαυτοῦ τὸ πρᾶγμα αὐτῶν καθάρας καταφρονήσωσιν, μηδεμία τῶν τοῦ λοιποῦ φωνὴ παντελῶς προσδεχθείη.

ΩΣ τοῦ ἀπὸ ἀλλοδαπῆς μοναστηρίου ὑποδεχθέντος, π δ'.
μὴ δὲ ἡγουμένου τοῦ μοναστηρίου μὴ δὲ κληρικὸν ἔξωθεν χειροτονεῖν.

Ο'μοίως (*) ἤρεσεν, ἵνα ἑαυτὸς ἀπὸ ἀλλοδαπῆς μοναστηρίου ὑποδέξηταί τινα, ἢ πρὸς πλήρωσιν προσαγαγεῖν ἐθελήσοι, ἢ τοῦ ἰδίου μοναστηρίου ἡγούμενον καταστήσοι, ὁ τοῦτο ποιῶν Ε'πίσκοπος ἀπὸ τῆς τῶν λοιπῶν κοινωνίας χωριζόμενος, τῇ τοῦ ἰδίου λαοῦ κοινωνίᾳ ἀρκεσθῇ μόνῃ. ἐκεῖνος δὲ, μὴ δὲ κληρικὸς μὴ δὲ ἡγούμενος ἐπιμείνῃ.

ΠΕΡΙ' Ε'πισκόπων τῶν αἱρετικὸν ἢ ἕλλωνας κληρονόμους καταλιμπανόντων. π ε.

Ο'μοίως ὡρίσθη, ἵνα ἑαυτὸς Ε'πίσκοπος κληρονόμους συγγενοῦς, ἢ ἐκτὸς τῆς ἰδίας συγγενείας αἱρετικὸν, ἢ ἕλλωνας προτιμήσῃ τῆς Ε'κκλησίας, καὶ μετὰ θάνατον ἀνάθεμα τῷ τοιούτῳ λεχθείη, καὶ τὸ ὄνομα αὐτοῦ μηδαμῶς παρὰ τοῖς τοῦ Θεοῦ ἱερεῦσιν ἀναγνωσθῇ, μὴ δὲ δυνηθῇ ἀπολογηθῆναι, ἐὰν ἀδίκως θάνατος ἐπιγένηται. ἐπειδὴ γενόμενος Ε'πίσκοπος, εἰκότως ὀφείλει τῶν πραγμάτων αὐτοῦ τὸν διατύπωσιν ἁρμοδίαν τῷ ἑαυτοῦ ἐπαγγέλματι ποιήσασθαι.

ΠΕΡΙ' ἐλευθερίων. π ς'.

Ο'μοίως ἤρεσεν, ἵνα περὶ τῶν ἐν τῇ Ε'κκλησίᾳ γενομένων ἐλευθερίων, ἀπὸ τοῦ βασιλέως αἴτησις γένηται.

(*) Η''ρεσεν.

πζ'. ΠΕΡΙ τῶν πλασῶν μνημείων τῶν μαρτύρων.

Ὁμοίως ἤρεσεν, ἵνα παντάχῃ ἀνὰ πὰς ἀγρὰς καὶ πὰς ἀμπελῶνας θυσιαστήρια ὡσανεὶ εἰς μνήμην μαρτύρων καθισάμενα, ἐν οἷς ἐδὲ σῶμα ἢ λείψανον μαρτύρων, ὑποκείμενα δείκνυται ἀπὸ τῶν ἐπισκόπων, εἰ ἔξι δυνατὸν, καθαιρέφονται. εἰ δὲ πᾶσι θορύβοις δημοτικοῖς ἐ συγχωρῆται, ὅμως πὰ πλήθη νυθετηθῶσιν, μὴ ὀχλαγωγεῖν πὰς τόπους ἐκείνους· καὶ ἵνα οἱ πὰ ὀρθὰ φρονοῦντες, μηδεμιᾷ δεισιδαιμονίᾳ τῶν τοιούτων τόπων καταδεσμῶνται, καὶ παντελῶς μὴ δὲ μνήμη μαρτύρων ἐπιτελεσθῇ, εἰ μή πε ἢ σῶμα ἤ τινα λείψανα ὧσιν ἢ ἀρχαίοθεν παραδεδῶνται. ὅσα γὰρ δι' ἐνυπνίων καὶ ματαίων ἀποπαλύψεων ἀνθρώπων τινῶν ὁπωσδήποτε καθίσανται θυσιαστήρια, παντὶ τρόπῳ πὰ τοιαῦτα ἀποδοκιμασθῶσιν.

πη'. ΠΕΡΙ τοῦ, πὰ λείψανα τῶν εἰδώλων ἐκριζωθῆναι.

Ὁμοίως ἤρεσεν αἰτηθῆναι ἀπὸ τῶν ἐνδοξοτάτων βασιλέων, ἵνα πὰ λείψανα τῆς εἰδωλολατρείας μὴ μόνον πὰ ἐν ξωαῖς, ἀλλὰ καὶ ἐν οἱοισδήποτε τόποις ἢ ἄλσεσιν ἢ δένδροις, παντὶ τρόπῳ ἐξαλειφθῶσιν.

πθ'. ΩΣΤΕ γράφεσθαι καὶ ἀναγράφεσθαι, ὁσάκις γένηται χρεία ἐν τῇ ἐν Καρχηδόνι Ἐπισκόπῳ ἐπ' ὀνόματι πάντων τῶν Ἐπισκόπων ἐπιστολάς.

Ἀπὸ συμπάντων τῶν Ἐπισκόπων ἐλέχθη, ἵνα ἐὰν ἤρεσέ τινα γράμματα ὀφείλειν ὑπαγορεύεσθαι ἐν τῇ Συνόδῳ, ὁ προσκαιρὸς Ἐπίσκοπος ὁ ἐν τῷ θρόνῳ πέτῳ προκαθήμενος καταξιοῖ ἐπ' ὀνόματι πάντων ὑπαγορεύειν καὶ ὑπογράφειν. ἐν οἷς ἤρεσεν ἔτι μὲν τοῖς προστηταῖς Ἐπισκόποις τοῖς ὀφείλουσιν ἀποσταλῆναι εἰς τὰ τῆς Ἀφρικῆς ἐπαρχίας ἕνεκεν τῶν φανατισῶν, γράμματα δοθῆναι, δύναμιν ἐντολικὴν περιέχοντα, ᾗ δύναμιν μὴ παρεξέλθωσιν.

Καὶ ὑπέγραψαν·

Αὐρήλιος Ἐπίσκοπος τῆς Καρχηδονέων Ἐκκλησίας, τῷ παρόντι ψηφίσματι συνήνεσα καὶ ἀναγνωσθέντι ὑπέγραψα. Ὁμοίως καὶ οἱ λοιποὶ Ἐπίσκοποι ὑπέγραψαν.

πρᾶξις πέμπτη

ΕΝ ΤΑΥΤΗ ΤΗ ΣΥΝΟΔΩ, τὰ προλαβόντα ψηφίσματα κυροῦνται. ἐπὶ τῆς ἐνδοξοτάτων βασιλέων Ἀρκαδίου καὶ Ὀνωρίου τῆς ἐνδοξοτάτων ὑπάτων. τῇ πρὸ ἓξ Καλανδῶν Σεπτεμβρίων. ἐν Μελιβετανῇ πόλει εἰς τὸ ἀκρωτήριον τῆς Ἐκκλησίας.

Αὐρήλιος Ἐπίσκοπος τῆς καρχηδονέων Ἐκκλησίας προκαθίσας ἐν πάσῃ τῇ Συνόδῳ παρεσώπων τῆς Διακόνων εἶπεν.

Ἐπειδὴ τῆς ἁγιωτάτης Ἐκκλησίας ἐν σῶμα ὑπάρχει, καὶ πάντων τῆς μελῶν μία ἐστὶ κεφαλή, γνωστὸν θέλοντος τοῦ Θεοῦ, καὶ τὴν ἡμετέραν ἀθέτειαν

σεδωαμῶντος, ὥστε πρὸς ταυτὶω τὶω Ἐκκλησίαω ἐλθεῖν ἡμᾶς, ἀγάπης ἢ ἀδελφότητος χάριτι προβαπτίζας. διὸ παρακαλῶ τὶω ὑμετέραν ἀγάπὶω, ἐπεὶ δὴ ὅτως ἐσὶν πισδταῖον, ὅτι ἡ ἡμετέρα παρ' ὑμῖν προσέλδσις, ἤτε πεμαστὴ ἤτε ὑδατάτη πᾶσίνεσιν, ἵνα ἡ σωαίνεσις πάντων ἡμῶν φανερωδῇ ὁμονοεῖν τοῖς σωνδόξασι ἢ ψηφισμάτων τῶν πάλαι, εἴτε ἢ τὶω σ' Ἱππῶνι Σωόδον βεβαιωδέντων, εἴτε μετὰ ταῦτα τῇ σ' Καρχηδόνι πρώτονι Σωόδῳ ὁριδτέντων· ὁμοίως δὲ ἢ νῦν ἢ τάξιν ἡμῖν ἀναγινωσκομένων. τότε γὰρ τῆς ὑμετέρας ἀδελφότητος ἡ ὁμόνοια λαμπροτέρα τῷ φωτὶ ἀναδειχδήσεται, ἐὰν τὰ παρ' ἡμῶν σ' ταῖς ἀνωτέραις Σωιόδοις νομίμως ὁρισδέντα, μὴ μόνον τῇ σ' τοῖς παρδσι πεπραγμένοις σωαινέσει ὑμῶν, ἀλλὰ ἢ χωγραφαῖς ἔτι μὶω φανερώσηται.

Σάγντιππος Ἐπίσκοπος τῆς πρώτης καθέδρας τῆς Νωμιδίας εἶπεν. πισδύω, ὅτι ὑ πάσῃ τῇ ἀδελφότητι ἤρεσεν· χωγράφοντες δὲ ἡμεῖς τῇ ἰδίᾳ χωσημειώσει βεβαιῶμεν ἀρέσαι.

Καὶ τὰ ὁρισδέντα ἰδιοχείρως ἐβεβαίωσαν.

Νικύτιος Ἐπίσκοπος τῆς πρώτης καθέδρας τῆς Μαυριτανίας Σιτιφένσης εἶπεν· τὰ ἀναγνωδέντα ψηφίσματα, ἐπειδὴ λογισμῷ ὐκ ἐξέρλυται, ἢ ἀπὸ πάντων ἐκυρώθησαν, ἔτι μὶω ἢ τῇ ἐμῇ βραχυτητι ταῦτα ἀρέσκουσιν, ἅπερ τῇ οἰκείᾳ γραφῇ βεβαιώσω.

ΠΕΡΙ πράξεως Ἐπισκόπων, ὥσε τὰς μεζονεσέρως χειροτονδέντας μὴ τολμᾶν ἑαυτὰς προτιμᾶν ἢ προτέρων. ϙ.

Βαλεντῖνος Ἐπίσκοπος εἶπεν· τὸ ἀγαδὸν τῆς ὑμετέρας ἀνεξικακίας ἐαὶ ἐπιβέπῃ, ἀκολούδως ἐξηγήσομαι τὰ σ' τῷ προλαβόντι χρόνῳ εἰς τὶω Καρχηδονέων Ἐκκλησίαν πραχδέντα, ἢ ταῖς τῶν ἀδελφῶν ὑπογραφαῖς φανερῶς κυρωδέντα, ἢ ἡμᾶς ἔτι μὶω φυλάξοντας ὁμολογήσω. ἐκεῖνο τοίνυν ἐπισάμεδα, ἀμίαντον ἀεὶ τὶω Ἐκκλησιαστικὶω φυλάττεδαι κατάσασιν ὅτως, ὡς μηδένα ἢ ἀδελφῶν τολμᾶν ἑαυτὸν προτιμᾶν προπετῶς τῶν πρὸ αὐτοῦ ἀλλὰ ταῖς τῆς ἀγάπης τάξεσιν ἀεὶ παρεχέδη τοῖς προτέροις, ἅπερ οἱ ἐπακολυδοῦντες χαριέντως κατεδέξαντο. Ταύτὶω ἓν τὶω πρᾶξιν κελδύσει ἡ ὑμετέρα ἁγιωσύνη κρειτόνως ταῖς ὑμετέραις δζαλαλιαῖς βεβαιῶσαι.

Αὐρήλιος Ἐπίσκοπος εἶπεν· ὐκ ἐχρὶω μὲν ταῦτα ἡμᾶς ἐπαναλαμβάνειν, εἰ μὴ ἐαὶ τυχὸν ἀκαδανόητοι δζάνοιαί τινων αὐεφύσαν αἱ πρὸς τὰς ὄρας τάτας τὰς ὑμετέρας αἰδήσεις ὀξυύσαι· ἀλλ' ἐπειδὴ αὔτη κοινή ἐσὶν αἰτία, ἰὼ νῦν ἐνφάνισεν ὁ ἀδελφὸς ἢ συλλειτουργὸς ἡμῶν, ὥστε ἕκασον ἡμῶν ἐπιγινώσκειν τὶω παρὰ τοῦ Θεοῦ ψηφιδεῖσαν αὐτῷ τάξιν, ἢ ἵνα οἱ μεζονέσεροι τοῖς προτέροις αὐαφέρωσιν, ἢ μὴ τολμήσωσιν παρανωμίω τάτων τίποτε πράττειν· δζὰ τοῦτο λέγω καδὼς τὸν ἐμὸν χωρέχει λογισμόν, τὰς καταφρονοῦντας

τῶν πρὸ αὐτῶν, καί τινα ἀναπολιμῶνται, κωλυτέος ἁρμοδίως εἶναι ἀπὸ πάσης τῆς Συνόδου.

Σάρδικος Ἐπίσκοπος τῆς πρώτης καθέδρας τῆς Νουμιδίας εἶπεν. Ἤκουσεν ἡ πάντων ὑμῶν ἀδελφῶν παρουσία τοῦ ἀκολούθησιν τῷ ἀδελφῷ καὶ συλλειτουργῷ ἡμῶν Αὐρηλίῳ, τί πρὸς ταῦτα ἀποκρίνεται;

Διατίμιος Ἐπίσκοπος εἶπεν· Ταῦτα τὰ παρὰ τῆς ψήφου τῶν ἀρχαίων ὀφειλόμενα, τῇ ἡμετέρᾳ συναινέσει ἐκδοθήσονται, ἵνα τὰ περιεχόμενα τοῖς πεπραγμένοις ὑπὸ προτέρων Συνόδων ἐν τῇ ἐν Καρχηδόνι Ἐκκλησίᾳ καὶ τοῦ ἡμετέρου συναινέσιν πεπληρωμένως βέβαια παρὰ πᾶσι φυλαχθῶσιν.

Σύμπαντες οἱ Ἐπίσκοποι εἶπον· Ἡ τάξις αὕτη καὶ ἀπὸ τῶν Πατέρων καὶ ἀπὸ τῶν ἀρχαίων ἐφυλάχθη, καὶ ἀφ' ἡμῶν καὶ συγχώρησιν Θεοῦ φυλαχθήσεται. σωζομένου ἔτι μοῦ τοῦ δικαίου τῶν πρωτόντων τῆς Νουμιδίας καὶ Μαυριτανίας ἐν τῇ χαρθαγενσίῳ καὶ μαξιμιανῆς τῆς Νουμιδίας. ἔπειτα ἤρεσεν πᾶσιν τοῖς Ἐπισκόποις τοῖς ἐν ταύτῃ τῇ Συνόδῳ ὑπογράψασιν, ἵνα τὸ μαξιμιανὸν καὶ ἀρχέτυπον τῆς Νουμιδίας, καὶ εἰς τοῦ πρώτου καθέδραν ᾖ, καὶ εἰς τοῦ μητροπολιν Κωνσταντίνας.

ιά. ΠΕΡΙ Κουοδβουλτδέου Ἐπισκόπου.

Περὶ Κουοδβουλτδέου ἔτι μοῦ τοῦ Καρθαγένης, ἐπειδὴ τοῦ ἐναντίου αὐτοῦ αἰτήσαντος παρὰ τῆς ἡμετέρας εἰσελθεῖν Συνόδου, ἐρωτηθεὶς εἰ ἄρα βούλεται. μετ' αὐτὸν

παρα

παρὰ τοῖς Ἐπισκόποις ἀναπειραθῆναι, πρῶτον μὲν ὑπέσχετο, τῇ δὲ ἄλλῃ ἡμέρᾳ πάλιν μὴ ἀρέσκειν αὐτῷ ἀπεκρίνατο, καὶ ἀνεχώρησεν· ἤρεσεν πᾶσι τοῖς Ἐπισκόποις, ἵνα μηδεὶς τῷ αὐτῷ Κουοδβουλτδέῳ κοινωνήσῃ, ἕως ἂν τὸ κατ' αὐτὸν πρᾶγμα περαιωθῇ· τοῦ γὰρ Ἐπισκοποῦ ἀπ' αὐτοῦ ἀφαιρεθῆναι πρὸ τῆς ἐκβάσεως τοῦ κατ' αὐτὸν πράγματος, μηδενὶ χρισιανῷ δοκεῖν δοθῆναι.

ΠΕΡΙ Μαξιμιανοῦ Ἐπισκόπου. ιβ'.

Περὶ Μαξιμιανοῦ δὲ τοῦ Βαγαϊτανοῦ, ἤρεσεν ἐκ τῆς Συνόδου γράμματα δοθῆναι καὶ πρὸς αὐτὸν καὶ πρὸς τὸν λαὸν, ἵνα κἀκεῖνος ἐκ τῆς Ἐπισκοπῆς ἀναχωρήσῃ. κἀκεῖνοι ἑαυτοῖς ἄλλον ἀναζητήσωσιν.

ΩΣΤΕ τοὺς χειροτονουμένους Ἐπισκόπους ἀπὸ τῶν χειροτονούντων αὐτοὺς ἐπιστολὰς λαμβάνειν, ἐν αἷς ἥτε ἡμέρα καὶ ὁ ὕπατος προφέρεται. ιγ'.

Ἔπειτα ἤρεσεν, ἵνα οἵτινες δήποτε μετὰ ταῦτα χειροτονῶνται ἀπὸ τῆς Ἀφρικῆς ἐπαρχίας, γράμματα λάβωσι παρὰ τῶν χειροτονούντων αὐτοὺς, τῇ χειρὶ αὐτῶν ὑπογεγραμμένα, περιέχοντα τὸν ὕπατον καὶ τὴν ἡμέραν. ὥστε μηδεμίαν ἀμφισβήτησιν περὶ ὑστέρων ἢ προτέρων ἀναφυῆναι.

ΠΕΡΙ τοῦ, τοὺς κἂν ἄπαξ ἐν τῇ Ἐκκλησίᾳ ἀναγνῶντας, μὴ δύνασθαι ὑπὸ ἄλλων προχειρίζεσθαι. ιδ'.

Ὁμοίως ἤρεσεν, ἵνα ὅστις δήποτε ἐν Ἐκκλησίᾳ, κἂν ἄπαξ ἀναγνῶ, ἀπ' ἄλλης Ἐκκλησίας πρὸς κλήρωσιν μὴ καταδέχηται.

Καὶ

Καὶ ὑπέγραψαν. Αὐρήλιος Ε'πίσκοπος τῆς ἐν Καρχηδόνι Ε'κκλησίας τῷ παρόντι ψηφίσματι συμφήνεσα, καὶ ἀναγνωσθέντι ὑπέγραψα.

Ο'μοίως καὶ οἱ λοιποὶ Ε'πίσκοποι ὑπέγραψαν.

Ε'Ν ΤΑΥ'ΤΗ, ΤΗ῍, ΣΤΝΟ'ΔΩ, ἐμφανίζονται τὰ πραχθέντα ὑπὸ τῆς πέραν τῆς θαλάσσης ἀποσταλέντων τοποτηρητῶν Ε'πισκόπων, ἐπὶ τῶ ἐνδοξοτάτω βασιλέως Θεοδοσίου τῶ Αὐγούστου, καὶ Ρ'ωμυλίδος τῆς λαμπροτάτης ὑπάτης· τῇ πρὸ ὀκτὼ Καλανδῶν Σεπτεμβρίων ἐν Καρχηδόνι εἰς τὴν Ε'κκλησίαν Σεκούνδου.

Αὐρήλιος Ε'πίσκοπος συμπάσῃ τῇ Συνόδῳ προκαθίσας παρεσώτων τῆς Διακόνων εἶπεν.

Λόγω ἀπαιτήσαντος ἡ ὑμετέρα ἀδελφότης παρὰ τῆς ἐμῆς μετριότητος εἰς ταύτην τὴν Σύνοδον προεβάλετο. ἐκπαλαι γὰρ, ὡς μέμνηται ἡ ὑμετέρα ἁγιωσύνη, Συνόδου γενομένης ἀπεστείλαμεν ἀδελφοὺς ἡμῶν πρὸς τὰ πέραν τῆς θαλάσσης τοποτηρητάς, οὓς ἐχρῆν ἐν τῇ συνελθούσῃ τῆς ὑμετέρας ἁγιωσύνης τὴν κίνησιν διηγήσασθαι τῆς ἐξενυσθείσης πρεσβείας. καὶ καθ' ἡν ἐν τῇ χθεσινῇ ἡμέρᾳ περὶ τοῦ αὐτοῦ πράγματος καθεσθέντων ἐκεῖ τῆς Ε'κκλησιαστικῶν πραγμάτων ἐπιμελῶς, ἃ ἔπραξαν, ἐψηλαφήσαμεν. ὅμως πρέπει σήμερον τὴν ἀναζήτησιν τῆς χθεσινῆς ἡμέρας τοῖς Ε'κκλησιαστικοῖς πεπραγμένοις ἐκβεβαιώσειν, διὰ τοὺς Ε'πισκόπους τῶν ἐπαρχιῶν τῆς Α'φρικῆς, τοὺς μὴ παρα-

γενομένους

γενομένους ἐν τῇ παρούσῃ Συνόδῳ. ἡ τάξις ἦν ἀπαιτεῖ τῶν πραγμάτων, ἵνα ἐν πρώτοις παρὰ τῆς ἀδελφῶν καὶ συνιερέων ἡμῶν τῆς πρὸς ταύτην τὴν Σύνοδον εἴτε ἐκ τῆς Βυζακίου εἴτε ἀπὸ Μαυριτανίας παραγενομένων ζητήσωμεν, πῶς συμφέρει ψηφίζεσθαι τῇ παρούσῃ Συνόδῳ, καὶ προσενεγκόντων Φιλολογίου, Γέτα, Βενουστιανοῦ, Φιλικιανοῦ, τῆς Ε'πισκόπων τῆς Βυζακηνῆς χώρας τὰ γράμματα τῆς τοποτηρησίας τὰ καὶ ἀναγνωσθέντα, ἔτι δὲ προσενεγκόντων Λευκιανοῦ, καὶ Σιλβανοῦ, τῆς τοποτηρητῶν τῆς Μαυριτανίας χώρας τῆς Σιτιφένσης τὰ γράμματα τῆς τοποτηρησίας. Καὶ τούτων ἀναγνωσθέντων, Αὐρήλιος Ε'πίσκοπος εἶπεν· τούτων τῆς ἐγγράφων ἡ ὑφὴ τοῖς πεπραγμένοις συζεχθείη περὶ τῆς τοῦ Βυζακίου Ε'πισκόπων.

Νουμήδιος Ε'πίσκοπος εἶπεν, προσέχομεν τοὺς ἀδελφοὺς καὶ συνεπισκόπους ἡμῶν τοὺς τῆς Βυζακηνῶν χώρας καὶ Μαυριτανίας Σιτιφένσης εἰς τὴν Σύνοδον τοποτηρητὰς ἀποσταλῆναι. νῦν ζητήσωμεν, ἐὰν τοποτηρηταὶ τῆς Νουμιδίας παρεγένοντο, ἢ δηλαδὴ τῆς Τειπολιτανῆς χώρας, ἢ τῆς Καισαριανῆς Μαυριτανίας.

Περὶ τῆς τῆς Μαυριτανίας Σιτιφένσης Ε'πισκόπων, Λευκιανὸς καὶ Σιλβανὸς Ε'πίσκοποι τοποτηρηταὶ τῆς Μαυριτανίας Σιτιφένσης χώρας εἶπον. βραδέως πρὸς τοὺς τῆς Καισαριανῆς ἀδελφοὺς ἡμῶν ἡ συνοδικὴ ἦλθεν, ἐπεὶ καὶκεῖνοι λοιπὸν εἶχον φθάσαι, ὅμως

πάν-

πάντες ἐλάσονται, ἡμῖν θαῤῥοῦμεν περὶ τῆς ψυχῶν αὐτῶν ὅτι εἴτι δήποτε εἰς ταύτην τὴν Σιωόδῳ πραχθήσεται, ἡμῖν αὐτοὶ ἀναμφιβόλως τὰς ἰδίας συναινέσεις παρέξοιεν.

Περὶ τῶν τῆς Νεμησίας Ε'πισκόπων, Α'λύπιος Ε'πίσκοπος εἶπεν. ἡμεῖς μὲν ἀπὸ τῆς Νεμησίας ἤλθομεν, ἐγώτε καὶ οἱ ἁγιώτατοι ἀδελφοὶ Αὐγεσῖνος καὶ Ποσείδιος· ἀλλ' ἀπὸ τῆς αὐτῆς Νεμησίας τοποτηρηταὶ πεμφθῆναι ἐκ ἠδυνάντο, ὅτι ἀκμὴν τῷ θορύβῳ τῶν Τιρωνάτων οἱ Ε'πίσκοποι ἰδίαις ἀνάγκαις ἐν ταῖς πόλεσιν αὐτῶν ἀπαχολῶνται ἐμποδιζόμενοι· ἐπεὶ καὶ τὴν σιωοδικὴν τῆς ὑμετέρας ἁγιωσύνης τῷ ἁγιωτάτῳ γέροντι Σαγκτίππῳ, ὡς ἀνήγαγον, συνεῖδεν περὶ τῆς παρούσης ζητήσεως Σιώοδον καθαιρεθῆναι, ὅπως καθαρθεῖσα τοποτηρησία, πρὸς ταύτην Α'ποσαλῇ τὴν Σιώοδον, ἀλλὰ δευτέροις γράμμασιν ἐμοῦ τοῦτον ἀναμενήσαντος, ἀπελογήσατο δι' οἰκείων γραμμάτων περὶ τοῦ ἀπὸ τῆς Τιρώνων ἐμποδισμοῦ, ὡς ἀνωτέρω εἶπον.

Αὐρήλιος Ε'πίσκοπος εἶπεν. Οὐκ ἔστιν ἀμφίβολον, ὅτι οἱ προλεχθέντες ἀδελφοὶ καὶ Συνεπίσκοποι ἡμῶν οἱ ἐκ τῆς Νουμηδίας, ὅτε τὰ πεπραγμένα τῆς Σιώοδου λάβωσιν, δεόντως καὶ τὰς ἰδίας παρέξουσιν συναινέσεις καὶ εἰς πέρας ἀγαγεῖν σπουδάσουσιν, ὁσαδήποτε ἀρέσουσιν. ἀνάγκη τοίνυν ἐστὶ τῇ φροντίδι τῆς καθέδρας ταύτης προνοηθῆναι,

τοῦτο

τοῦτο αὐτὸ τοῖς προλεχθεῖσιν ἐμφανὲς καταστῆναι.

ΠΕΡΙ' τῆς Τεμπολιτάνων Ε'πισκόπων. Περὶ τῶν ἀπὸ Τριπόλεως ἀδελφῶν ἡμῶν, τοῦτο ἠδυνήθημεν γνῶναι, ὅτι Δεκίτιον ἀδελφὸν ἡμῶν ἀπέστειλαν τοποτηρητήν. ἀλλ' ἐπειδὴ ἀπαντῆσαι ἐκ ἠδυνήθη, τοῦτό τινες τῆς τέκνων ἡμῶν διεβεβαιώσαντο ἐλθόντες ἐκ τῆς προλεχθείσης χώρας, ὅτι ὁ μνημονευθεὶς Δεκίτιος εἰς πλοῖον εἰσῆλθεν. καὶ δὴ πιστεῦσαί τινα παρολκὴν ἐκ τοῦ χωρῶνος αὐτῆς συμβῆναι, τὴν αὐτὸν ἀναγκάσασαν βραδῦναι· ὅμως καὶ περὶ τούτου, ἐὰν ἀρέσκῃ τῇ ὑμετέρᾳ ἀγάπῃ, ὁ αὐτὸς τύπος φυλαχθείη, ἵνα τὰ ἀρέσαντα τῇ Σιώοδῳ πρὸς αὐτὸν ἀποσαλῶσιν.

Α'πὸ πάντων τῆς Ε'πισκόπων ἐλέχθη· τὰ ὀφειλόμενα ὑπὸ τῆς σῆς ἁγιωσύνης, πᾶσιν ἀρέσκει. ΠΕΡΙ' τοῦ, τοῖς δονατισταῖς συνελθεῖν. Αὐρήλιος Ε'πίσκοπος εἶπεν. Τὸ εἰς ψηλάφησιν ἐλθὸν τῆς ὑμετέρας ἀγάπης, λογίζομαι ὀφείλειν τοῖς Ε'κκλησιαστικοῖς πεπραγμένοις βεβαιωθῆναι. ἡ γὰρ ὑπόχεσις πάντων ὑμῶν, τοῦτο προσβάλλετο, ὀφείλειν εἶναι ἕκαστον ἡμῶν ἐν τῇ ἰδίᾳ πόλει καθ' ἑαυτὸν συνελθόντων τοῖς ἀρχηγοῖς τῶν δονατιστῶν, ἢ προσζεῦσαι ἑαυτὸν γείτονα ἕτερον, ἵνα ὁμοίως τοῖς πιστοῖς ἐν ἑκάστῃ πόλει καὶ τόπῳ διὰ τῶν ἀρχόντων ἢ τῶν πρῶτα φερόντων ἐν τοῖς αὐτοῖς τόποις συνέλθωσιν. τοῦτο ἐὰν ἀρέσκῃ πᾶσι, παραγγελθείη.

Ἀπὸ πάντων τῶν Ἐπισκόπων ἐλέχθη. Πᾶσιν ἀρέσκει· ἢ πάντες τοῦτο τῇ ἡμετέρᾳ ὑπογραφῇ ἐκυρώσαμεν· ἀναγκαῖον ἔτι μικρὸν, ἵνα ταῖς ἐπιστολαῖς, ταῖς ὀφειλούσαις ἐκ τῆς Συνόδου πρὸς τοὺς ἄρχοντας ἀποσταλῶσι, ὑπὲρ πάντων ἡ σὴ ὑπογράψῃ ἁγιωσύνη.

Αὐρήλιος Ἐπίσκοπος εἶπεν. Ἐὰν δοκῇ τῇ ὑμετέρᾳ ἀγάπῃ, ὁ τύπος τῆς πρὸς ἐκείνους συνελεύσεως ἀναγνωσθείη, ὅπως τοῦτον τὸν τόπον τῆς ἐπακολουθήσεως πάντες, ἐὰν ἀρέσκῃ, κρατήσωμεν.

Ἀπὸ πάντων τῶν Ἐπισκόπων ἐλέχθη· Ἀναγνωσθείη. Λαϊκὸς νοτάριος ἀνέγνω.

ηζ. Ὁ τύπος τῆς πρὸς τοὺς δονατιστὰς συνελεύσεως. Ἐπίσκοπος τῆς καθολικῆς Ἐκκλησίας εἶπεν· τὸ παρὰ τῆς αὐθεντείας ἐκείνης τῆς μεγίστης καθέδρας ἡμῖν ἐπιτραπὲν αἰτοῦμεν τῇ ὑμετέρᾳ τιμιότητι ἀναγνωσθῆναι, καὶ εἰς πέρας ἀχθῆναι κελεῦσαι.

Ἀναγνωσθείσης δὲ τῆς κελεύσεως καὶ τῶν πεπραγμένων αὐτοῖς, Ἐπίσκοπος τῆς καθολικῆς Ἐκκλησίας εἶπεν. Τὸ διὰ τῆς ὑμετέρας τιμιότητος πρὸς τοὺς δονατιστὰς ὀφεῖλον ἀπενεχθῆναι αὐτολεκὸν ἀπέστειλα, καὶ πεπραγμένων ἐμβληθῆναι· καὶ πρὸς αὐτοὺς ὑπομνῆσαι καθήκωσε, καὶ τῇ πάντων ἀπόψει πάλιν διὰ τῶν ὑμετέρων πεπραγμένων ἡμῖν ἐφανίσαι. συνερχόμεθα ὑμῖν αὐθεντικῶς διαλαλοῦντες ἐν τῇ ἡμετέρᾳ καθολικῇ Συνόδῳ, ἐπιθυμοῦντες χαρῆναι

περὶ

περὶ τῆς ἡμετέρας διορθώσεως. ἐπισάμεθα γὰρ τῷ ἁγίῳ καὶ Κυρίῳ εἰπόντος, μακάριοι οἱ εἰρηνοποιοί· ὅτι αὐτοὶ Υἱοὶ Θεοῦ κληθήσονται. ὑπέμνησεν δὲ διὰ τοῦ Προφήτου, ὡς τε ἔτι μικρὸν ἢ τοῖς βουλομένοις λέγεσθαι ἀδελφοῖς ἡμῶν λέγειν ἡμᾶς, ἀδελφοὶ ἡμῶν ἐστέ. οὕτω πίστιν τοῦ διὰ τῆς ἀγάπης εἰρηνικοῦ ἐρχομένου ἡμετέραν αἰτάμνησιν, διορθώσασθαι εἰκὸς ὀφείλετε, ἵνα ἐάν τίποτε ἀληθείας ἔχειν ἡμᾶς οἴεσθαι, αὐτιλαβέσθαι πάντα μὴ ἀμφιβάλητε. τοῦτ' ἔστιν, ἵνα συναχθείσης Συνόδου ἡμῶν ἐπιλέξοισθε διὰ τῶν ὑμῶν αὐτῶν τοὺς ὀφείλοντας τὸ πρᾶγμα ἐμπιστοῦσθαι τῆς τοιαύτης ἡμῶν διακολογίας· ὅπως καὶ ἡμεῖς διωσθῶμεν τὸ αὐτὸ ποιῆσαι. τοῦτ' ἔστιν, ἵνα ἐκ τῆς ἡμετέρας Συνόδου ἐπιλεγῶσιν οἱ ὀφείλοντες μετὰ τῶν διὰ ὑμῶν ἐπιλεγέντων εἰς ἀφισμένῳ τόπῳ καὶ καιρῷ, πρὸ τοῦ τῆς ζητήσεως ἐχόμενον, τὸ τῶν ὑμετέρων ἀφ' ἡμῶν κοινωνίαν χωρίζον, εἰρηνικῶς διέπεσθαι, καὶ κατ' οὐδένα τρόπον τῇ βοηθείᾳ τοῦ Κυρίου ἡμῶν καὶ Θεοῦ, τέλος ἡ παλαιὰ δίκη λαμβάνεται πλανῆ, μήποτε διὰ πεῖσμα ἀνθρώπων ἀθεσμοῖς ψυχαὶ καὶ ἄπειροι λαοὶ, Γηρυόνῃ τινὶ χωρισμῷ ἀπόλωνται. ἐὰν γὰρ τοῦτο ἀδελφικῶς καταδέξησθε, δικαίως ἡ ἀλήθεια διαφανήσεται· εἰ δὲ τοῦτο ποιῆσαι μὴ θελήσητε, ἡ ἀπιστία ὑμῶν δικαίως γνωρισθήσεται.

Καὶ ἀναγνωσθέντος τοῦ τοιούτου τύπου, ἀπὸ πάντων τῶν Ἐπισκόπων ἐλέχθη. πάνυ ἀρέσκει· τοῦτο γενήσεται·

Καὶ ὑπέγραψαν. Αὐρήλιος Ἐπίσκοπος τῆς ἐν Καρχηδόνι Ἐκκλησίας, τῷ παρόντι ψηφίσματι συνήνεσα, καὶ ἀναγνωσθέντι ὑπέγραψα. Ὁμοίως καὶ οἱ λοιποὶ Ἐπίσκοποι ὑπέγραψαν.

ΑΥΤΗ Η ΣΥΝΟΔΩΣ κατὰ τῶν δονατιστῶν πρεσβυτὰς πρὸς τοὺς Αὐτοκράτορας ἔπεμψε. Τῷ ἐνδοξοτάτῳ βασιλεῖ Ὀνωρίῳ Αὐγούστῳ τῷ ἕκτῳ ὑπάτῳ, τῇ πρὸ ις'. Καλανδῶν Ἰουλίων ἐν Καρχηδόνι εἰς τὴν Ἐκκλησίαν τῆς βασιλικῆς Σεκούνδε. Ἐν ταύτῃ τῇ Συνόδῳ τοποτηρησίαν ἀνεδέξαντο Θεάσιος καὶ Εὐόδιος κατὰ τῶν δονατιστῶν. Ἐν ᾗ Συνόδῳ συνεπάχθη κομμονιτόριον περιέχον ὅτως.

Τὸ Κομμονιτόριον, ὅπερ ἔλαβον οἱ κατὰ τῶν δονατιστῶν πρεσβύται. ψηφ

Κομμονιτόριον τοῖς ἀδελφοῖς, Θεασίῳ καὶ Εὐοδίῳ, τοῖς πεμφθεῖσι πρεσβύταις ἐκ τῆς ἐν Καρχηδόνι Συνόδου, πρὸς τοὺς ἐνδοξοτάτους καὶ θρησκευτικωτάτους Αὐτοκράτορας, ἵνικα τῇ τοῦ Κυρίου βοηθείᾳ τοῖς ἀσεβεστάτοις προσελθοῦσι βασιλεῦσι πάσης ἐμφανίσουσιν, ποίῳ τρόπῳ τελεία ἡ παρρησία καὶ τοῦ τοῦ αὐτοῦ ἰδιαυτοῦ Συνόδου οἱ πρωτεύοντες τῶν δονατιστῶν τοῖς πολιχνιστικοῖς πεπραγμένοις συνελθεῖν προεβάπησαν, ἵνα εἰ ἐθάρρει τοῦ οἰκείου δόγματος ἀντιλαβέσθαι, ἐπιλεγέντων τινῶν ἱκανῶν ἐκ τοῦ αὐτοῦ ἀγιεσθμοῦ, μεθ' ἡμῶν εἰρηνικῶς ἀμφέβαλον, καὶ ἡμερότητι Χριστιανικῇ ἀναμφιβόλως εἶχον ἐπιδεῖξαι, εἴτε ποτὲ ἀλη-

ἀληθείας κατεῖχον, ὅπως ἐν τούτῳ ἡ καθολικὴ εἰρηνικότης, ἣ ἔκπαλαι τοῖς ἀνωτέρω διαλάμψασα χρόνοις, καὶ νῦν ὁμοίως διὰ τῆς ἀπειρίας καὶ μονοπωλίας τῶν αὐτιλεγόντων ἐγνωρίζετο. ἀλλ' ἐπειδὴ τὸ μὴ θαρρεῖν σωθέντος χεδὸν, ὑδὲ ἐτόλμησαν ἀνακινεῖσθαι διό, ἐπειδὴ Ἐπισκοπικὴ καὶ εἰρηνικὴ πᾶξις περὶ τοὺς πιστοὺς πεπλήρωται, καὶ οὗτοι τῇ ἀληθείᾳ μὴ δυνηθέντες ἀνακινῆσαι, εἰς ἀνυπόστους βίας μετεβάπησαν, ὡς πολλοὺς Ἐπισκόπους καὶ πολλοὺς κληρικούς, ἵνα τὸ περὶ τῶν λαϊκῶν σιωπήσωμεν, ἐπιβουλαῖς συχεῖν. καίτινες δὲ ἔτι μᾶλλον Ἐκκλησίαις ἐπέβησαν, καὶ ἄλλαις ἐπελθεῖν ὁμοίως ἐπειράθησαν· τῆς αὐτῶν φιλανθρωπίας λοιπόν ἐστι προνοήσασθαι, ἵνα ἡ Καθολικὴ Ἐκκλησία ἡ τοὺς θρησκευτικοὺς τοῦ Χριστοῦ γεννήσασα, γαστὶ, καὶ τῇ βεβαιώσει τῆς πίστεως ἐνθρέψασα, τῇ αὐτῶν ἔτι μᾶλλον προνοίᾳ ὀχυρωθῇ· μή ποτε προπετεῖς ἄνθρωποι ἐπὶ τῆς ἀσεβῶν αὐτῶν χρόνων φόβῳ τινὶ τῆς ἀθέων, λώβῃ καταδικάσωσιν ἀσωσιν. ἐπειδὴ ὑποπεσόντες πάσης, ἀνυφαλῆσαι ἀδύνανται· ἔγνωσαι γὰρ καὶ πολλάκις τοῖς νόμοις ἐκβαίνει τῆς παρασυναγόντων ἡ βελτιστὴ πλῆθυς, ποῖα διαπράττεται, ἅτινα καὶ πολλάκις τοῖς θεσπίσμασιν αὐτῶν τῆς προλεχθέντων ἀσεβεστάτων Αὐτοκρατόρων κατεδικάθησαν. καὶ ἂν τῆς ἐκείνων μανίας διωκόμεθα συμμαχείας θείας τυχεῖν, ἀκ αἰτίας δὲ ὑδὲ ἀλλοτρίας ἀπὸ τῆς ἁγίων γραφῶν, ὁπόταν Παῦλος ὁ

Ἀποστολος, ὡς ταῖς ἀληθιναῖς πράξεσι τῶν Ἀποστόλων δεδήλωται, τὴν σύμπνοιαν τῶν ἁπάντων στρατιωτῶν ἀπεύχησε βοηθείᾳ. ἡμεῖς τοίνυν τὸν αὐτὸν εὔχεσθε, ἵνα ταῖς καθολικαῖς τάξεσι τῶν Ἐκκλησιῶν, καὶ ἑκάστην πόλιν, ἑκάστων κτίσεων ὑπερθέτως παραφυλακὴ παραχεθῇ· ἅμα δὲ καὶ τοῦτο δεῖ αἰτῆσαι· ὥστε τὸν νόμον τὸν ἐκτεθεῖσα παρὰ τῆς θεοσεβοῦς μνήμης Πατέρος αὐτῶν Θεοδοσίου, τὸν περὶ τῶν δέκα τῆς χρυσίου λιβρῶν, τὸν κατὰ τῶν χειροτονούντων καὶ χειροτονουμένων αἱρετικῶν φυλάξωσιν, ἔτι μὴν καὶ τὰ τῶν κτητόρων τῶν παροίκων ἢ ἐκείνων δίρεθῇ σωαγωγή· εἶθ' ὕτως βεβαιωθῆναι τὸν πιστὸν νόμον κελεύσωσιν, ὡς ἰσχύειν κατὰ πάντων ὧν διὰ τὰς ἐπιβολὰς τῆς Καθολικῆς προφασιστὰς διὰ μαρτυρίων ἀπέθεντο· ἵνα κἂν τούτῳ τῷ φόβῳ ἐκ τοῦ ποιεῖν χίσματα καὶ ἀπὸ τῆς τῶν αἱρετικῶν φυλάττης παύσωνται, οἱ τῇ καταισχύνῃ τῆς αἰωνίας πολάσεως καθαρθῆναι καὶ διορθωθῆναι ὑπερτιθεμένοι.

Καὶ εἰκὸς ἔτι μὴν αἰτῆσαι δεῖ, ἵνα τῇ αὐτῶν θεοσεβείᾳ ὁ μέχρι τοῦ παρόντος νόμος ἐπαναληφθείη, ὁ τὴν διχόνοιαν τῶν αἱρετικῶν ἀφαιρόμενος, τοῦ εἴτε ἀπὸ χειροτονιῶν εἴτε ἀπὸ διαθηκῶν τινος δύνασθαι λαμβάνειν τίποτε ἢ καταλιμπάνειν καὶ ἁπλῶς εἰπεῖν, τοῦ εἴτε καταλιμπάνειν τι εἴτε λαμβάνειν τὰ ἴδια ἀφέληται, τῇ μανίᾳ τῆς ἰδίας πείσματος τυφλωθέντων, καὶ ἐν τῇ τῶν δυνατῶν πλείονι ἐπιμελείᾳ βυλο-

μένων. πῶς δὲ τῇ καταισχύνῃ τῆς αἱρέσεως καὶ εἰρηνικοὶ ἑαυτοὺς διορθώσασθαι βυλομένοις ὑπερκειμένου τοῦ τοιούτου νόμου αἰσχύνη ἡ ἀπροσία τοῦ λαμβάνειν κληρονομίαν· εἰ μὴ ἔτι τοῖς αὐτοῖς ἐν τῇ τῆς αἱρετικῆς πλάνῃ καθεζομένοις προσαρμόζει τίποτε ἀπὸ δωρεᾶς ἢ κληρονομίας, ἐξερημένων ἐκείνων δηλαδὴ, οἵτινες μετὰ τὸ εἰς δίκην αἰσχυθῆναι ἐλογίσαντο ὀφείλειν πρὸς τὴν καθολικὴν μετελθεῖν. περὶ γὰρ τῆς τοιούτου πίστεώς ἐστιν, μὴ τῷ φόβῳ τῆς ἀρχαίας κρίσεως, ἀλλὰ τῇ ἀπλησίᾳ τῆς γνήσης λυσιτελείας, τὴν καθολικὴν σύστασιν ἐπιποθῆσαι. πρὸς τούτοις δὲ πᾶσι, τῆς βοηθείας χρεία ἐστὶ τῶν διωκτικῶν ἑκάστης ἐπαρχίας ἰδίας· καὶ ἄλλο δέ, εἴτι δήποτε καταγνόντες τῇ Ἐκκλησιαστικῇ χρησιμότητι λυσιτελῶν, τοῦτο διαπράττεσθαι καὶ διαφύγειν, αὐτεξούσιον ὑφιζόμεθα τὸ ποτήριον.

Καὶκεῖνο δὲ πρὸς τούτοις ἤρεσεν, ἵνα γράμματα ἐκ τῆς ἡμετέρας συνελθούσεως πρὸς τὰς εὐδοξοτάτας βασιλέας καὶ τὰς ὑπερεχούσας ἀξίας διοσαλῶτι, δι' ὧν πληροφορῶνται ὡς τῇ συναινέσει πάντων ἡμῶν ἐπὶ τὸ δυτυχέστατον κομιτᾶτον τὰς τοποτηρητὰς παρ' ἡμῶν εἶναι διοσαλοῦσι· ἀλλ' ἐπειδὴ τοῖς αὐτοῖς γράμμασι πάντας ἡμᾶς ὑπογράψαι βραδύτατόν ἐστιν, ἵνα μὴ τοῖς ἑκάστου ἡμῶν ὑπογραφαῖς τὰ αὐτὰ γράμματα φορτωθῶσιν, αἰτῶμεν ἀδελφὲ Αὐρήλιε, ἵνα σὺ τοῦτο ἡ σὴ ἀγάπη ὑπογράψαι ἐπ' ὀνόματι πάντων ἡμῶν καθῆκον ᾖ.

Καὶ ὑπέγραψαν. Αὐρήλιος Ἐπίσκοπος τῆς ἐν Καρχηδόνι Ἐκκλησίας, τῷ παρόντι ψηφίσματι συνήνεσα, καὶ ἀναγνωσθέντι ὑπέγραψα.

Ὁμοίως καὶ οἱ λοιποὶ ὑπέγραψαν.

Γράμματα ἔτι μὲν πρὸς τὰς ἀρχούσας πέμψαι δεῖ, ἵνα ἕως ἂν ὁ Κύριος, τὰς τοποτηρητὰς ὑποστρέψαι πρὸς ἡμᾶς ἀξιώσῃ, παρὰ φυλακῇ ἀνὰ τὰς τῆς πόλεων τάξεις καὶ κτήσεις τῆς χωρίων τῆς Καθολικῆς Ἐκκλησίας ἐπιμελείσωσιν.

Ἔτι μὲν δεῖ προσζεῦσαι καὶ περὶ τῆς Αἰκυτίας, ἵνα μὴ ἀναιδεία αὐτῆς ἐξωθηθῇ ἀπὸ τῆς διοικήσεων, ἃς ἐκ τῆς φροντίδων τῆς ἐν Ἵππῳνι Ἐκκλησίας ἱερατικῶν δικαίων πρὸς ἑαυτὸν διεκδικεῖ. καὶ γράμματα δὲ πρὸς τὸν Ἐπίσκοπον τῆς Ῥωμαϊκῆς Ἐκκλησίας περὶ τοῦ παραθέσθαι τὰς τοποτηρητὰς, πεμφθῆναι ὀφείλουσιν. καὶ πρὸς τοὺς ἄλλους δὲ, ὅπου ἐστὶ ὁ βασιλεύς.

Καὶ ὑπέγραψαν ὁμοίως. Αὐρήλιος Ἐπίσκοπος τῆς ἐν Καρχηδόνι Ἐκκλησίας, τῷ παρόντι ψηφίσματι συνήνεσα, καὶ ἀναγνωσθέντι ὑπέγραψα· ὁμοίως καὶ οἱ λοιποὶ Ἐπίσκοποι ὑπέγραψαν.

πρᾶξις. ἕκτη.

ΕΝ ΤΑΥΤΗ ΤΗ ΣΥΝΟΔΩ, τὰ ὀειθέντα ὑπὸ βραχέα σαφηνίζειν πρόθεσις. Ἐπὶ Στελεχίου πάλιν καὶ Ἀνθεμίου, τῆς λαμπροτάτων, τῇ πρὸ Δεκάτῃ Καλανδῶν Σεπτεμβρίων ἐν Καρχηδόνι εἰς τὴν Ἐκκλησίαν τοῦ δευτέρου κλήματος.

Τὰ

Τὰ πεπραγμένα τῆς παρούσης Συνόδου, διὰ τὸ ἐξολοκλήρου οὐκ ἐγράφησαν, ἐπειδὴ μᾶλλον τὰ κατὰ τὸν καιρὸν ἀναγκαῖα ἔπερτινα γενικὰ ὠρίσθησαν, δι' ὧν βραχεῖα συνέσεις τῆς πεπραγμάτων τῆς αὐτῆς Συνόδου διετυπώθη.

Τὸ βρέβιον τῶν κεφαλαίων.

Ἵνα ἐλευθέρα τοποτηρησία ἐκ πασῶν τῶν ἐπαρχιῶν εἰς τὴν Σύνοδον ἀποσταλῇ πρὸς Μιζόνιον. ιθ'.

Τοποτηρηταὶ καὶ γράμματα ἀποσταλῶσι παρηγγέλθησαν, διὰ τὸ ὀφείλειν ἐλευθέραν ἐκπέμψαι τοποτηρησίαν· ἵνα ἐπειδὴ ἐν Καρχηδόνι μόνον σύνοσις ἐγένετο, πεμφθῶσι γράμματα πρὸς τοὺς ἄρχοντας, ὅπως καὶ ἐν ταῖς ἄλλαις ἐπαρχίαις καὶ πόλεσιν οἱ αὐτοὶ ἄρχοντες, πανδήμῳ ἐπιχωρηγηθῶσι κελεύσωσι τῇ σύνοδῳ, ἵνα ἐν Καρχηδόνι ἀχλοησίαις ἀπὸ τῆς Ἐκκλησίας ὑπὲρ πάσης τῆς Ἀφρικῆς περὶ τοῦ ἀπελαθῆναι τοὺς δονατιστὰς, μετὰ γραμμάτων τῶν Ἐπισκόπων ἐπὶ τὸ κομιτᾶτον πεμφθῶσιν.

Ἐν ταύτῃ τῇ Συνόδῳ τινὰ ἐκ τῶν ἀνωτέρω ὁρισθέντων διορθῶνται, ἐπὶ τῶν ἐνδοξοτάτων βασιλέων Ὀνωρίου τὸ ἕβδομον, καὶ Θεοδοσίου τὸ δεύτερον, Αὐγούστων ὑπάτων. πάλιν ἴδοις Ἰουλίαις ἐν Καρχηδόνι εἰς τὴν Ἐκκλησίαν τοῦ δευτέρου κλήματος, Αὐρηλίου Ἐπισκόπου ἅμα τοῖς Συνεπισκόποις αὐτῆς προκαθίσαντος, παρεσώτων τῶν Διακόνων. ἐπειδὴ πάλαι ὠρίσθη εἰς τὴν ἐν Ἵππῳνι Σύνοδον, ὥς τε καθ'

ἕκα-

ἕκαστον ἑαυτὸν πλήρη σωάγεσθαι Σιώδου τῆς Ἀφεικῆς, μὴ μόνον ἐνταῦθα τὸ Καρχηδόνι, ἀλλὰ καὶ αἱ ἀπὸ τὰς διαφόρους ἐπαρχίας τῇ ἰδίᾳ αὐτῶν τάξει· καὶ τοῦτο δὲ ἐφυλάχθη, ὥστε μιμνήσκειν ἡμᾶς εἰς τὸν Νεμηδίαν, ποτὲ δὲ εἰς τὸ Βυζάκιον. καὶ τοῦτο ἐπίπονον πᾶσι τοῖς ἀδελφοῖς ἔδοξε, Σιώδου μὴ γίνεσθαι κοινωνόν τε καὶ ὁλοτελῆ, εἰ μὴ διὰ ἀνάγκης.

ρ. Ἤρεσεν, ὥστε μὴ εἶναι περαιτέρω ἑαυτοῦ ἀναγκαῖον τὸ σωζίβεσθαι τοὺς ἀδελφούς. ἀλλ' ὁσάκις αὖ κοινὴ χρεία παλέσει, τοῦτ' ἔστι πάσης τῆς Ἀφρικῆς γραμμάτων διδομένων ὁπωσδήποτε πρὸς ταύτην τὴν καθέδραν, Σιώδου ὀφείλειν σωάγεσθαι τὸ ταύτῃ τῇ ἐπαρχίᾳ, ἔνθα ἡ χρεία καὶ ἐπιτηδειότης σωωσθήσει. αἱ δὲ αἰτίαι αἱ μὴ ὔσαι κοιναὶ, τὸ ταῖς ἰδίαις ἐπαρχίαις κεισθῶσιν.

ρά. Ἵνα αἱρετικὰς δικαστὰς μὴ δεῖν εἶη ἐκκλεῖσθαι· ἐὰν δὲ γένηται ἔκκλητος, καὶ ἐπιλέξηται ὁ ἐγκαλεσάμενος δικαστὰς, καὶ μετ' αὐτοῦ κἀκεῖνος καθ' ὃν ἐξεκαλέσατο, τοῦ λοιποῦ ἀπὸ τούτων μηδενὶ ἐξέσω ἐγκαλεῖσθαι.

Περὶ τοποτηρησιῶν διαφόρων ἐπαρχιῶν. Τῶν τοποτηρησίαι διαφόρων ἐπαρχιῶν ἐμφανισθεῖσαι, χαιρεκάκως προσεδέχθησαν. τοῦτ' ἔστι τῆς Νεμηδίων, τῆς Βυζακηνῶν, τῶν Μαύρων Σιτιφεσιῶν, ὁμοίως δὲ καὶ Καισαρειανῶν, ἀλλὰ καὶ τῆς ἀπὸ Τεμπόλεως.

ρβ. ΠΕΡΙ' ἐγκλητῶν τῆς Ἐκκλησίας. Ἤρεσεν

πρὸς

πρὸς τούτοις ὥστε ἐγκλητὰς καὶ πᾶσι τοῖς τῆς Ἐκκλησίας χρειώδεσι πέντε ἐπιλεγῶσι αἱρεθῆναι, οἵτινες καὶ ταῖς διαφόροις ἐπιμελήσονται ἐπαρχίαις.

Ἵνα ἀπὸ τῆς βασιλέων αἰτηθῇ σωηγόρων ἀντίληψις ὑπὲρ τῆς Κεφαλαίων τῆς Ἐκκλησίας.

Ἤρεσεν ἔτι μᾶλλον, ἵνα ἐξ ὀνόματος πασῶν τῶν ἐπαρχιῶν οἱ προβεβλημένοι πρεσβεῦται, Βικέντιος καὶ Φορτουνατιανὸς αἰτήσωσιν ἀπὸ τῆς εὐδοξοτάτων βασιλέων, ὥστε δοθῆναι ἄδειαν, τοῦ καταστῆσαι εὐδίκους σχολαστικούς, οἵτινες αὐτὸ τοῦτο τὸ λειτούργημα τοῦ ἐνδικεῖν τὰ πράγματα, ἐπιτήδευμα ἔχουσι· καὶ ἵνα ὡς ἱερεῖς τῆς ἐπαρχίας οἱ αὐτοὶ οἱ τοῦ ἐνδίκου τῆς Ἐκκλησιῶν ἀναδεξάμενοι, δικαίως δικαιωθῶσιν ὑπὲρ τῆς τῆς Ἐκκλησίας πραγμάτων, ὁσάκις ἀνάγκη ἀπαιτήσει, πρὸς τὸ (*) ἀντιβαίνειν τοῖς ἀνακύπτουσι, καὶ ἀναφέρειν τὰ ἀναγκαῖα καὶ εἰς τὰ σήματα τῆς δικαστείας εἰσίεναι.

ΠΕΡΙ' τοῦ, εἶναι ἐλεύθεραν τοῦ τοποτηρησίαν. ργ'.

Ἤρεσεν, ὥστε ἀντεξούσιον τοῦ τοποτηρησίαν ἔχειν τὸν ἐπὶ τὸ κοιμητήριον πεμφθησόμενον ἐπιλέκτους τοποτηρητάς.

Προμαρτυρία τῆς Μαυρεταίων ἱερέων περὶ Πεμμόσου. Πρὸς τούτοις δῆλον, ὅτι προμαρτυρουμένους εἶναι γράμμασιν ἰδίοις τοὺς Μαυρετιανοὺς καὶ Καισαρειανοὺς, Πέμμοσον διὰ τῆς ἐξεχόντων τῆς Θιγαβησσίας πόλεως περὶ τοῦ σωελθεῖν, ἵνα καὶ τὰς βασιλικὰς δια-

(*) Ἀντιλέγειν.

τῶν τῶν

τυπώσεις σὺν τελῶς παράχοι τῷ ἑαυτῆ παρουσίαν· ἢ ὡς ἐχρῆν ἀναζητηθεὶς ὁ αὐτὸς Πείμοσος, οὐχ εὑρέθη ὡς οἱ Διάκονοι ἀπήγγειλαν· ἀλλ' ἐπειδὴ ἤτησαν οἱ αὐτοὶ Μαῦροι ἐκ πάσης τῆς Σιωόδου ὀφείλειν γράμματα ἀποσαλῆναι πρὸς πρόσκωπον ἀδελφῶ γέροντι Γενοκεντίω, ἤρεσεν πεμφθῆναι, ἵνα γνῶ ζητηθέντα τὸν Πείμοσον σὺν τῇ Σιωόδῳ, καὶ μηδαμῶς εὑρεθέντα.

ρδ'. ΠΕΡΙ τῶν λαῶν τῶν μηδέποτε Ἐπισκόπους ἐχόντων.

Ἤρεσε καὶκεῖνο, ἵνα οἱ ὅλοι οἱ μηδέποτε ἰδίους ἐχόντες Ἐπισκόπους, εἰ μὴ ἐκ πάσης τῆς Σιωόδου ἑκάστης ἐπαρχίας καὶ τοῦ πρωτεύοντος ψήφισμα γένηται, καὶ τῇ συναινέσει ἐκείνου, ὅτινος ὑπὸ τῶν διοικήσεων καθίσατο ἡ αὐτὴ Ἐκκλησία, μηδαμῶς δέξωνται.

ρέ. ΠΕΡΙ λαῶν καὶ διοικήσεων τῶν ἀπὸ δονατιστῶν ἐπιστρεφόντων.

Ἵνα δηλαδὴ ἐκείνων οἱ λαοὶ οἱ ἀπὸ τῶν δονατιστῶν ἐπιστρέφοντες καὶ Ἐπισκόπους ἐχόντες παρὰ γνώμην τῆς Σιωόδου, πάντως ἀναμφιβόλως ἔχειν ἀξιωθῶσιν· οἵτινες δὲ οἱ λαοὶ ἐχόντων Ἐπίσκοπον, καὶ πάντα τελεσθέντος οὐκ ἠθέλησαν ἴδιον Ἐπίσκοπον ἔχειν, ἀλλὰ πρὸς ἄλλου τινὸς Ἐπισκόπου διοίκησιν ἀναδραμεῖν αὐτοῖς· πάντα μὴ ὀφείλειν πάντως ἀρνηθῆναι· οὐ μὴν ἀλλὰ καὶκεῖνο αὐτοῖς ἐχθῆ, ὅτι οἱ Ἐπί-

σκοποι

σκοποι οἱ πρὸ τοῦ βασιλικοῦ νόμου, τοῦ περὶ εὐσεβείας προνομιζομένου, οἵτινες δήποτε πρὸς τὸν καθολικὸν ἐπιστρέψασι τοὺς λαούς, οὓς εἶχον αὐτοί, πάντως κατέχειν ὀφείλουσιν, μετὰ δὲ τὸν νόμον τῆς εὐσεβείας καὶ ἐκείνους χρὴ πάσας τὰς Ἐκκλησίας καὶ τὰς διοικήσεις αὐτῶν, καὶ εἴ τινα τυχὸν ὦσι δικαιώματα τοῖς δικαίοις ἀνήκοντα τῶν αὐτῶν Ἐκκλησιῶν, διεκδικεῖσθαι ὑπὸ τῶν Καθολικῶν Ἐπισκόπων τῶν εἰς τοῖς τόποις ἐκείνοις, εἰς οἷς κατείχοντο παρὰ τῶν αἱρετικῶν, εἴτε ἐπιστρεφόντων λοιπὸν πρὸς τὸν Καθολικὸν, εἴτε μὴ ἐπιστρεφόντων. καὶ ἐὰν τὸν αἴθησιν κατεχρήσαντο μετὰ τῶν βασιλικῶν νόμων, ὀφείλειν ταῦτα διοικεῖσθαι.

ΠΕΡΙ τῆς ἀναφορᾶς Μαυρεντίου τοῦ Ἐπισκόπου. ρς'.

Κατὰ τὴν ἀναφορὰν καὶ αἴτησιν τοῦ Ἐπισκόπου Μαυρεντίου, ἀναγνωσθέντος τοῦ Σχεδασίου, ὅπερ προσήνεγκε Πλακεντῖνος ὁ Ἐπίσκοπος ὁ τὸ πρόσωπον τοῦ τοποτηρητοῦ τῶν Νουμιδιῶν ἀναπληρῶν, ὅπερ καὶ τῷ γνώμῃ τοῦ αὐτοῦ Πλακεντίου ἀνεγνώσθη εὐώπιον τῶν Ἐπισκόπων· καὶ ζητηθέντων πρὸ τῶν θυρῶν τῶν λεγομένων παρεσταῖναι Διακόνων, τοῦτέστι τῶν γερόντων τῶν ἀπὸ τῆς νέας Γερμανοῦ, καὶ μηδαμῶς εὑρεθέντων, καὶ δεύτερον καὶ ξῖπον ζητηθέντων. ἔκεινε δηλαδὴ τοῦτο ἡ ἁγία Σιώδος, ὥστε γράμματα πρὸς τὸν αὐτὸν γέροντα Σάγιτιππον ἐκπεμφθῆναι, διὰ τὸ γνῶναι, ὅτι ἡ προαι-

ρέσει

ρέσει τῆ μητροπόλει τοῦτο λαὸν ὕβρει ὑπερπίπτειν ὁ Ἐπίσκοπος.

Μαυρούντιος Ἐπίσκοπος εἶπεν· ἐπειδήπερ ἐζητήθησαν οἱ γέροντες οἱ ἀπὸ νέας Γερμανῆς δεύτερον καὶ ξίπον, καὶ οὐχ ἁρέθησαν οἷς ἐν παραγγελθὲν ἀπὸ τῆ πρωτόντος πρὸς τὸν ἐν ταῖς ἐκδοῖς γενομένῳ προσκυνητῷ Σινόδου ἀπαντῆσαι, τῆς νησείας ἑαυτῶν ἅπαντες ἐφρόντισαν· καὶ διὰ τοῦτο κρίνη ἡ ὑμετέρα ἁγιωσύνη περὶ τούτου τοῦ πράγματος, αἰτίως μὴ σωζιβῶναί με τῇ ἐπιμονῇ τῆς ἐκείνων συκοφαντίας.

Ἡ Ἁγία Σύνοδος ἔκρινεν. ὀφείλει μὲν καὶ τὸν ἱερατικὸν κρίσιν ἐκ τῆς Συνόδου ταύτης καὶ τῶν μοναστούντων ψῆφον ἐνφέρεσθαι· ἀλλ' ἐπειδὴ ἡμερότητα Ἐκκλησιαστικὸν δεῖ φυλάττειν ἐν ὅλοις τοῖς πράγμασιν, ὑπεχέθησαν γράμματα πρὸς τὸν γέροντα Σάγκτιππον, ὅπως γνῶ κρίτας ἐπιλεγείσας ἀπὸ τῆς Συνόδου, τοὺς ὀφείλοντας ἀυτερθέτως σκοπῆσαι ἐν Θεσσαλονίκῃ τῇ πόλει, πρὸς τὸ, ἁρμοδίαν τῶν πραγμάτων παραχεθῆναι διάγνωσιν.

Μαυρέντιος Ἐπίσκοπος εἶπεν. Κρίτας αὐτῶν τὸν ἁγιώτατον Σάγκτιππον, Αὐγουστῖνον τὸν ἁγιώτατον, Φλορεντῖνον, Θεάσιον, Σαμψύχιον, Σεκοῦνδον καὶ Ποσείδιον· τοῦτο ψηφισθῆναί μοι κελεύετε.

Ἡ Ἁγία Σύνοδος ἐπένευσεν τοὺς αἱρεθέντας κριτάς. τοὺς λοιποὺς δὲ ἀναγκαίους διακρὰς πρὸς ἀναπλήρωσιν

ρωσιν τοῦ ἀριθμοῦ αὐτὸς τοῖς ἀπὸ τῆς νέας Γερμανοῦ γέρουσιν ἐπιλέξασθαι ψηφίσεται ὁ γέρων Σάγκτιππος.

ΠΕΡΙ τοῦ εἰρηνοποιηθῆναι τὰς Ἐκκλησίας Ῥώμης καὶ Ἀλεξανδρείας. ρζ'.

Ἤρεσεν ἔτι μὴν, ὥστε περὶ τῆς διχονοίας τῆς Ῥωμαϊκῆς καὶ Ἀλεξανδρινῆς Ἐκκλησίας πρὸς τὸν ἁγιώτατον Πάπαν Ἰννοκέντιον γραφῆναι· ὅπως ἑκατέρα Ἐκκλησία πρὸς ἀλλήλας εἰρήνῃ φυλάξωσιν, ὡς Κύριος παραγγέλλει.

ΠΕΡΙ τῶν τοὺς ἄνδρας ἢ τὰς γυναῖκας ἀπολυόντων, ἵνα ἕτερος μείνωσιν. ρη.

Ἤρεσεν, ὥστε κατὰ τὸν Εὐαγγελικὸν καὶ Ἀποστολικὸν ἐπιτίμιον, μήτε ὁ ἀπὸ γυναικὸς ἐαθεὶς, μήτε ἡ ἀπὸ ἀνδρὸς καταλειφθεῖσα, ἑτέρῳ συζεύχθῃ. ἀλλ' ἢ ἕτερος μείνωσιν, ἢ ἑαυτοῖς καταλλαγῶσιν. εἰ περ ἐὰν καταφρονήσωσιν, πρὸς μετάνοιαν καταναγκαζέσθωσιν. ἐν ᾧ πράγματι νόμον βασιλικὸν ἐκτεθῆναι χρεὼν αἰτῆσαι.

ΠΕΡΙ τῶν πρὸς τὸ θυσιαστήριον ὀφειλόντων λέγεσθαι ἱκεσιῶν. Ἤρεσεν καὶ τοῦτο, ὥστε τὰς κεκυρωμένας ἐν τῇ Συνόδῳ ἱκεσίας, εἴτε προοίμια, εἴτε παραθέσεις, εἴτε τὰς τῆς χειρὸς ἐπιθέσεις ἀπὸ πάντων ἐπιτελεῖσθαι, καὶ παντελῶς ἄλλας καὶ τῆς πίστεως μηδέποτε (*) προσευχεσθῆναι· ἀλλ' αἵτινες δήποτε ἀπὸ τῶν σωφρονεστέρων συνήχθησαν, λεχθήσονται. ρθ'.

ΠΕΡΙ τῶν τοὺς διάγνωσιν τῶν δημοσίων διακρι-

(*) Προσευχεσθῆναι.

σημείων ἀπὸ τῦ βασιλέως αἰτήσωσιν. Ἤρεσεν, ἵνα ὁσισδήποτε ἀπὸ τῦ βασιλέως διάγνωσιν δημοσίων δικασηρίων αἰτήσοι, τῆς ἰδίας τιμῆς σεμνοθείη· ἐὰν δὲ κρίσιν Ἐπισκοπικὴν ἀπὸ τῦ βασιλέως αἰτήσοι, μηδὲν αὐτῷ ἐμποδίσοι.

ρί. ΠΕΡΙ τῶν ἐν Ἀφρικῇ κοινωνούντων, καὶ θελόντων πέραν τῆς θαλάσσης ὑποσυρῆναι. Ὁσισδήποτε μὴ κοινωνῶν ἐν τῇ Ἀφρικῇ, εἰς τὰ περαματικὰ πρὸς τὸ κοινωνεῖν ὑφερπύσει, τὴν ζημίαν τῆς κληρώσεως ἀναδέξεται.

ριά. Ἵνα οἱ ἐπὶ τὸ κομιτᾶτον πορδόμενοι, τὴν αἰτίαν ἑαυτῶν καὶ τῷ ἐν Καρχηδόνι καὶ τῷ Ῥωμαϊκῷ, ἱεροῖς γραμμάτοσιν ἐφανίσαι. Ἤρεσεν, ἵνα ὁσισδήποτε πρὸς τὸ κομιτᾶτον πορδηθῆναι θελήσοι, ἐν τῇ ἀπολυτικῇ τῇ ἐπὶ τῇ Ἐκκλησίᾳ Ῥώμης πεμπομένῃ κατάδηλος γένηται, καὶ ἵνα ἐκεῖθεν ἔτι μὴν ἀπολυτικὴν λάβῃ ἐπὶ τὸ κομιτᾶτον. διὸ ἐὰν ὁ λαβὼν ἀπολυτικὴν πρὸς τὴν Ῥώμην μόνον σιωπήσας τῷ ἀγάπῃ, δι' ἣν εἰς τὸ κομιτᾶτον αὐτὸν χρὴ πορδηθῆναι, θελήσῃ δίχα θέας εἰς τὸ κομιτᾶτον βαδίσαι, ἀποκινηθῇ τῆς κοινωνίας. ἐὰν δὲ ἐκεῖσε ἐν τῇ Ῥώμῃ αἰφνιδία ἀνάγκη ἀναφυῇ τῦ ἀπελθεῖν εἰς τὸ κομιτᾶτον, ἐμφανίσῃ αὐτὴν τῷ ἀνάγκην τῷ Ἐπισκόπῳ Ῥώμης, καὶ παρακομίσῃ αὐτίγραφον τῦ αὐτῦ τῆς Ῥώμης Ἐπισκόπου. αἱ ἀπολυτικαὶ δὲ αἱ ἀπὸ τῶν πρωτοδόντων ἢ τῶν οἱωνδήποτε Ἐπισκόπων, τοῖς ἰδίοις κληρικοῖς διδόμεναι,

χῶσι

χῶσι τὴν ἡμέραν τῦ πάσχα· ἐὰν δὲ ἀκμὴν ἡμέρα τῦ πάσχα τῦ αὐτῦ σωιαυτῦ καταδηλος ὑκ ἔσιν, ἢ τῦ προηγησαμένου προσζδιχθείη· ὃν τρόπον ἐθάδε μετὰ τὴν ὑπατείαν γράφεσθαι τὰ τοῖς δημοσίοις πεπραγμένοις.

Ἤρεσεν καὶκεῖνο, ὥς τε μὴ τῶν δυνατισῶν καὶ τῶν ἐλλιώων καὶ τῶν θρησκειῶν αὐτῶν, τὰς πεμφθέντας τοποτηρητὰς ἐκ τῆς τιμίας ταύτης Συνόδου παντοῖον χρήσιμον Συνιδῶσιν, ἐκ τῶν ἐνδοξοτάτων αἰτίσασθαι βασιλέων.

Ἤρεσεν ἔτι μὴν τῇ αἰτήσει πάντων τῶν Ἐπισκόπων, ἵνα πάσαις ταῖς ὀφειλούσαις δοθῆναι ἐκ τῆς Συνόδου Ἐπιστολαῖς, ἡ σὴ ἁγιωσύνη μόνη ὑπογράψῃ.

Καὶ ὑπέγραψαν. Αὐρήλιος Ἐπίσκοπος τῆς ἐν Καρχηδόνι Ἐκκλησίας, τῷ παρόντι ψηφίσματι συνήνεσα, καὶ ἀναγνωσθέντι ὑπέγραψα.

ΣΥΝΟΔΟΣ καθ' ἣν τῶν ἐλλιώων καὶ τῶν αἱρετικῶν, ἐπὶ Βάσσου καὶ Φιλίππου, τῶν λαμπροτάτων ὑπάτων, τῇ πρὸ ἓξ καὶ δεκάτῃ Καλανδῶν Ἰουλίων, ἐν Καρχηδόνι εἰς τὸ σύνηρητον τῆς Ῥεσιτάτης Ἐκκλησίας. Ἐν ταύτῃ τῇ Συνόδῳ πρεσβείαν ἀνεδέξαντο Ῥέσιπος καὶ Φλορέντιος, οἱ Ἐπίσκοποι, καθ' ὧν Σάλπορος καὶ Μακάριος ἀνήρεθησαν· καὶ δι' ἃ τὴν αἰτίαν Εὐόδιος, Θεάσιος καὶ Βίκτωρ, οἱ Ἐπίσκοποι ἐσφράγισαν. ριβ'.

Σωόδος περὶ διαγνώσεως Ἐπισκόπων, ἐπὶ τῶν ἐνδοξοτάτων βασιλέων Ὀνωρίου τὸ ἕβδομον, καὶ Θεοδοσίου τὸ ξ΄ῖτον, τῶν Αὐγούστων ὑπάτων, τῇ πρὸ ἑπτακαιδεκάτης Καλανδῶν Ἰουλίων, εἰς Καρχηδόνα ἐν τῇ Σεκούνδου Ἐκκλησίᾳ. Εἰς ταύτην τὴν Σύνοδον ἦρεσεν, ὥστε ἕνα Ἐπίσκοπον μὴ ἐκδικεῖν ἑαυτῷ διάγνωσιν. Τὰ πεπραγμένα τῆς παρούσης Συνόδου διὰ τοῦτο οὐκ ἐγράφη, ἐπειδὴ ἐπιχωρίως καὶ οὐ κοινοῦ ἐπετελέσθη.

ριγ΄. ΣΥΝΟΔΟΣ καὶ τῶν donatistῶν, μετὰ τὴν ὑπατείαν τῶν ἐνδοξοτάτων βασιλέων Ὀνωρίου τὸ ὄγδοον, καὶ Θεοδοσίου τὸ τέταρτον, τῶν Αὐγούστων, πρὸ ὀκτωκαιδεκάτης Καλανδῶν Ἰουλίων, ἐν Καρχηδόνι εἰς τὴν Ἐκκλησίαν τοῦ κλήματος Σεκούνδης. Ἐν ταύτῃ τῇ Συνόδῳ τοποτηρησίαν ἐδέξαντο καὶ τῶν donatistῶν, Φλορεντίος, Ποσείδιος, Πραισίδιος, καὶ Βικεντίος, οἱ Ἐπίσκοποι. Ἐν τούτῳ τῷ καιρῷ νόμος ἐδόθη, ἵνα ἐλευθέρᾳ προαιρέσει ἕκαστος τῆς χριστιανότητος τὴν (*) αὔξησιν ἀποδέξηται.

ριδ΄. ΣΥΝΟΔΟΣ καὶ τῆς αἱρέσεως Πελαγίου καὶ Κελεστίου.

Ἐπὶ τῶν ἐνδοξοτάτων ὑπάτων Ὀνωρίου τὸ δωδέκατον, καὶ Θεοδοσίου τὸ ὄγδοον τῶν Αὐγούστων, Καλανδαις Μαΐαις, εἰς Καρχηδόνα ἐν τῷ σκηνίτῃ τῆς Φαύστης Ἐκκλησίας, Αὐρηλίου τοῦ Ἐπισκόπου συμ-

(*) Al. αὐξησιν.

πάσῃ

πάσῃ τῇ Συνόδῳ προκαθίσαντος, παρεστώτων τῶν Διακόνων, ἦρεσεν πᾶσι τοῖς Ἐπισκόποις τῆς ἐν Καρχηδόνι Ἐκκλησίας, Ἁγίᾳ Συνόδῳ καθεσθῆναι, ὧν τὰ ὀνόματα καὶ αἱ ὑπογραφαὶ ὑπέθησαν.

Ὅτι Ἀδὰμ θνητὸς ἀπὸ θεοῦ οὐκ ἐγένετο. ριέ.

Ἵνα ὅσις λέγῃ τὸν Ἀδὰμ τὸν πρωτόπλαστον ἄνθρωπον, θνητὸν γενόμενον ὅπως, ὡς εἴτε ἁμαρτήσει εἴτε μὴ ἁμαρτήσει, τεθνήξεται τῷ σώματι, τοῦτ' ἔστιν ἐξελθεῖν ἐκ τοῦ σώματος μὴ τῇ ἀξίᾳ τῆς ἁμαρτίας, ἀλλὰ τῇ ἀνάγκῃ τῆς φύσεως, ἀνάθεμα ἔστω.

ΟΤΙ τὰ μικρὰ εἰς ἄφεσιν ἁμαρτιῶν βαπτίζονται. Ὁμοίως ἦρεσεν, ἵνα ὁσισδήποτε τὰ μικρὰ νεογενῆται ἐκ τῆς γαστέρος τῆς μητέρων βαπτιζόμενα ἀρνεῖται, ἢ λέγει εἰς ἄφεσιν ἁμαρτιῶν αὐτὰ βαπτίζεσθαι, μηδὲν δὲ ἐκ τῆς τοῦ Ἀδὰμ ἔλκειν προγονικῆς ἁμαρτίας τὸ ὀφεῖλον καθαρθῆναι τῷ λουτρῷ τῆς παλιγγενεσίας (ὅθεν γίνεται ἀκόλουθον, ὅτι ἐν αὐτοῖς ὁ τύπος τοῦ εἰς ἄφεσιν ἁμαρτιῶν βαπτίσματος οὐκ ἀληθὴς, ἀλλὰ πλασὸς νοεῖται) ἀνάθεμα εἴη· ἐπειδὴ οὐκ ἄλλως δεῖ νοῆσαι τὸ εἰρημένον τοῦ Ἀποστόλου, διὰ ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰσῆλθεν εἰς τὸν Κόσμον, ,,
καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος. καὶ οὕτως εἰς πάντας ἀνθρώπους διῆλθεν, ᾧ πάντες ἥμαρτον. εἰ μὴ ὄν ποτε ἡ καθολικὴ Ἐκκλησία ἡ παντοχοῦ διακεχυμένη καὶ ἡπλωμένη ἀεὶ σώσεν. διὰ γὰρ τὸν Κανόνα τοῦτον τῆς πίστεως, καὶ οἱ μικροὶ ἔτι μὴν οἱ μηδὲ

ἁμαρτημάτων εἰς ἑαυτὸς ἔτι μὶὼ πλημμελεῖν δυνάμενοι, εἰς ἄφεσιν ἁμαρτιῶν ἀληθινῶς βαπτίζονται· ἵνα καθαρθῇ ἐν αὐτοῖς διὰ τῆς παλιγγενεσίας, ὅπερ ἤλκυσαν ἐκ τῆς ἀρχαιογονίας.

ριζ. ΟΤΙ ἡ τῦ Θεῦ χάρις ὐ μόνον ἄφεσιν χαρίζεται ἁμαρτιῶν, ἀλλὰ ϗ βοηθείαν παρέχει τῷ μηκέτι ἁμαρτάνειν. Ὁμοίως ἤρεσεν, ἵνα ὁσισδήποτε εἴποι τὴν χάριν τῦ Θεῦ, ᾗ τινι δικαιῦται διὰ Ἰησῦ Χριστῦ τῦ Κυρίυ ἡμῶν, πρὸς μόνιμν ἄφεσιν ἁμαρτιῶν ἰσχύειν ᾗ ἤδη πεπλημμεληκόσιν ϗ μὴ παρέχειν ἔτι μὶὼ βοηθείαν πρὸς τὸ μὴ ἕτερα πλημμελεῖσθαι, ἀνάθεμα εἴη.

ριή. ΟΤΙ ἡ χάρις τῦ Θεῦ ὐ μόνον γνῶσιν παρέχει, ὡς δεῖ πράττειν, ἀλλὰ ϗ ἀγάπην ἐνεργεῖ ἡμῖν, ἵνα ὃ ἐκ ἐπιγινώσκωμεν, ϗ πληρῶσαι ἰσχύωμεν.

Ὁμοίως, ὁσισδήποτε εἴποι τὶὼ αὐτὶὼ χάριν τῦ Θεῦ τὶὼ διὰ Ἰησῦ Χριστῦ τῦ Κυρίυ ἡμῶν εἰς τῦτο μόνον ἡμῖν βοηθεῖν, πρὸς τὸ μὴ ἁμαρτάνειν, ὅτι δι' αὐτῆς ἡμῖν ὑπεκαλύπτεται ϗ φανερῦται ἡ γνῶσις τῶν ἁμαρτημάτων, ὥς τε γινώσκειν ἃ δεῖ ἐπιζητεῖν ϗ ἃ δεῖ ἐκκλίνειν, ὃ μὶὼ δι' αὐτῆς ἡμῖν παρέχεται, ἵνα ὅπερ γνῶμεν ποιητέον, ϗ ποιῆσαι ἔτι μὶὼ ἀγαπήσωμεν ϗ ἰσχύσωμεν, ἀνάθεμα εἴη· τῦ γὰρ Ἀποστόλυ λέγοντος, ὅτι ἡ γνῶσις φυσιοῖ, ἡ δὲ ἀγάπη οἰκοδομεῖ, ἀσεβὲς πάνυ ἐστὶ πιστεύειν, πρὸς μὲν τὸ

φυσιῦν

φυσιῦν ἡμᾶς ἔχειν τὶὼ χάριν τῦ Χριστῦ, πρὸς δὲ οἰκοδομεῖν μὴ ἔχειν· ὁποτέραν ἑκάτερον δῶρόνεσι τῷ Θεῷ, ϗ τὸ εἰδέναι τί ποιεῖν δεῖ, ϗ τὸ ἀγαπᾶν ὃ δεῖ ποιεῖν· ἵνα τῆς ἀγάπης οἰκοδομύσης, ἡ γνῶσις φυσιῦν μὴ δυνηθῇ. ὥς περ ἐν τῷ Θεῷ γέγραπται, ὁ διδάσκων ἄνθρωπον γνῶσιν. ὅπως ἔτι μὶὼ γέγραπται· ἡ ἀγάπη ἐκ τῦ Θεῦ ἐστιν.

ΟΤΙ ἀλλ' ἵνα τῆς τῦ Θεῦ χάριτος, οὐδὲ δυνάμεθα πληρῦν. ριθ.

Ὁμοίως ἤρεσεν, ἵνα ὁσισδήποτε εἴποι, διὰ τῦτο τὶὼ χάριν ἡμῖν τῆς δικαιοσύνης δέδοσθαι, ἵνα ὅπερ ποιεῖν διὰ τῦ αὐτεξουσίυ δυνάμεθα, δι' χειρὸς ἑρως πληρῶμεν διὰ τῆς χάριτος· ὡσανεὶ ϗ ἡ χάρις μὴ ἐδίδοτο, οὐκ δι' χειρῶς μὲν, ἀλλ' ὅμως οὐδυνάμεθα ϗ δι' χα ἐκείνης ἔτι μὶὼ πληρῶσαι τὰς θείας ἐντολάς· ἀνάθεμα εἴη· περὶ γὰρ τῶν καρπῶν τῶν ἐντολῶν ὁ Κύριός ἐλάλει. ὅτυ οὐκ εἶπεν χωρὶς ἐμῦ δυχερῶς δυνάθε ποιεῖν· ἀλλ' εἶπεν, χωρὶς ἐμῦ οὐ δυνάθε ποιεῖν.

ΟΤΙ οὐ μόνον ταπεινή, ἀλλὰ ϗ ἀληθινὴ ἡ φωνὴ τῦ ἁγίων ἐστὶν αὐτῇ, ἐὰν εἴπωμεν, ὅτι ἁμαρτίαν οὐκ ἔχωμεν, ἑαυτὸς πλανῶμεν. Ὁμοίως ἤρεσεν, ἵνα ὅπερ εἶπεν ὁ Ἅγιος Ἰωάννης ὁ Ἀπόστολος· ἐὰν εἴπωμεν, ὅτι ἁμαρτίαν οὐκ ἔχομεν, ἑαυτὸς ἀπατῶμεν, ϗ ἀλήθεια ἐν ἡμῖν οὐκ ἔστιν· ὁσισδήποτε οὕτως παραληπτέον νομίσει, ὡς εἰπεῖν διὰ ταπεινοφρο-

ρ. ΟΤΙ ἡ μόνον ταπεινή, ἀλλὰ ϗ ἀληθινὴ ἡ φωνὴ τῦ ἁγίων ἐστὶν αὐτῇ, ἐὰν εἴπωμεν, ὅτι ἁμαρτίαν οὐκ ἔχομεν, ἑαυτὸς πλανῶμεν. Ὁμοίως ἤρεσεν, ἵνα ὅπερ εἶπεν ὁ Ἅγιος Ἰωάννης ὁ Ἀπόστολος· ἐὰν εἴπωμεν, ὅτι ἁμαρτίαν οὐκ ἔχομεν, ἑαυτὸς ἀπατῶμεν, ϗ ἀλήθεια ἐν ἡμῖν οὐκ ἔστιν· ὁσισδήποτε οὕτως παραληπτέον νομίσει, ὡς εἰπεῖν διὰ ταπεινοφρο-

σωίλω μὴ ὀφείλειν λέγεσθαι ἡμᾶς μὴ ἔχειν ἁμαρτίαν, ἀλλ' ὅτι ἀληθῶς οὕτως ἔχει, ἀνάθεμα εἴη. ἑπακολουθεῖ γὰρ ὁ Ἀπόστολος καὶ προσδιάγνωσιν αὐτοῦ· ἐὰν δὲ ὁμολογήσωμεν τὰς ἁμαρτίας ἡμῶν, πιστός ἐστι καὶ δίκαιος, ὅστις ἀφήσει ἡμῖν τὰς ἁμαρτίας καὶ καθαρίσει ἡμᾶς ἀπὸ πάσης ἀδικίας. εἶτα πάνυ δεδήλωται τοῦτο μὴ μόνον ταπεινοφρόνως, ἀλλ' ἔτι μᾶλλον ἀληθῶς λέγεσθαι. ἠδύνατο γὰρ ὁ Ἀπόστολος εἰπεῖν, ἐὰν εἴπωμεν, ὅτι ἔχομεν ἁμαρτίαν, ἑαυτοὺς ἐξυψοῦμεν, καὶ ταπεινοφροσύνη ἐν ἡμῖν οὐκ ἔστιν, πάνυ ἀπέδειξεν τὸν λέγοντα ἑαυτὸν μὴ ἔχειν ἁμαρτίαν, μὴ ἀληθεύειν ἀλλὰ ψεύδεσθαι.

ρκά. Ο'ΤΙ ἐν τῇ δεσποτικῇ εὐχῇ οἱ ἅγιοι ὑπὲρ ἑαυτῶν λέγουσιν. ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν. Ὁμοίως ἤρεσεν, ἵνα ὁσισδήποτε εἴποι, ἐν τῇ δεσποτικῇ εὐχῇ διὰ τοῦτο λέγειν τοὺς ἁγίους, ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, οὐχ ὅτι ὑπὲρ ἑαυτῶν τοῦτο λέγουσιν, ἐπειδὴ αὐτοῖς λοιπὸν οὐκ ἔστιν ἀναγκαία αὕτη ἡ αἴτησις, ἀλλ' ὅτι ὑπὲρ ἄλλων τῶν ὄντων ἐν τῷ λαῷ αὐτῶν ἁμαρτωλῶν. καὶ μὴ λέγειν ἕνα ἕκαστον τῶν ἁγίων, ἄφες μοι τὰ ὀφειλήματά μου, ἀλλ' ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν· ὡς ὑπὲρ ἄλλων τοῦτο μᾶλλον ἢ ὑπὲρ ἑαυτῶν τὸν δίκαιον αἰτοῦντα νοεῖσθαι· ἀνάθεμα εἴη· ἅγιος γὰρ καὶ δίκαιος ἦν Ἰάκωβος ὁ Ἀπόστολος, ὅτε ἔλεγεν, ἐν πολλοῖς γὰρ ἁμαρτάνομεν πάντες, ἐπεὶ διὰ τί προσέθηκαν τὸ πάντες, εἰ μὴ

ἵνα

ἵνα ἡ ἔννοια αὕτη ἁρμοσθῇ καὶ τῷ ψαλμῷ ὅπου ἀναγινώσκεται, μὴ εἰσέλθῃς εἰς κρῖσιν μετὰ τοῦ δούλου σου. καὶ ἐν τῇ βίβλῳ τοῦ σοφωτάτου Σολομῶντος· οὐκ ἔστιν ἄνθρωπος, ὃς οὐχ ἥμαρτεν· καὶ ἐν τῇ βίβλῳ τοῦ Ἁγίου Ἰὼβ τὸ ἐν χειρὶ παντὸς ἀνθρώπου σημαίνειν, ὡς τε εἰδέναι πάντα ἄνθρωπον τὴν ἀσθένειαν αὐτοῦ· ὅθεν ἔτι μᾶλλον ὁ ἅγιος καὶ δίκαιος Δανιὴλ ὁ Προφήτης, πληθυντικῶς λέγων, τὸ ἡμάρτομεν, ἠνομήσαμεν, καὶ τὰ λοιπὰ ἃ ἐκεῖ ταπεινοφρόνως καὶ ἀληθινῶς ὁμολογεῖ. ἵνα μὴ νομισθείη, ὥς τινες νοοῦσι τοῦτο μὴ περὶ τῆς ἰδίων, ἀλλὰ περὶ τῆς τοῦ λαοῦ αὐτοῦ μᾶλλον λέγειν ἁμαρτιῶν.

Μετὰ ταῦτα εἶπεν, ὅτι ἐξομολογοῦμαι τὰς ἁμαρτίας μου καὶ τὰς ἁμαρτίας τοῦ λαοῦ μου Κυρίῳ τῷ Θεῷ μου· οὐκ ἠθέλησεν εἰπεῖν τὰς ἁμαρτίας ἡμῶν· ἀλλὰ τοῦ λαοῦ αὐτοῦ εἶπεν καὶ ἑαυτοῦ· ἐπειδὴ μέλλοντας πῶς κακῶς νοεῖν ὡσανεὶ προεῖδεν ὁ προφήτης.

Ο'ΤΙ ἀληθῶς ἀπὸ τῶν ἁγίων λέγεται, τὸ, ρκβ'. ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν.

Ὁμοίως ἤρεσεν, ἵνα οἵτινες δήποτε τὰ ῥήματα τῆς δεσποτικῆς εὐχῆς, ὅπου λέγομεν, ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὅτως βάλονται ἀπὸ τῶν ἁγίων λέγεσθαι, ὡς ταπεινοφρόνως καὶ οὐκ ἀληθῶς ταῦτα λεχθῆναι, ἀνάθεμα εἴη. τίς γὰρ ὑπερέγκοι τὸν ἐξομολογούμενον μὴ ἄνθρωπος, ἀλλ' αὐτῷ τῷ Κυρίῳ ψεύ-

δόμεων, τὸν τῖς χείλεσιν αὐτῆ λέγοντα, τὰς ὀφειλάσας ἀφαιθῶαι ἁμαρτίας αὐτῷ, μὴ ἔχειν.

ρκγ'. ΠΕΡΙ τῶν λαῶν τῶν ἀπὸ τῶν δονατισῶν ἐπισρεφόντων.

Ὁμοίως ἤρεσεν, ἐπειδὴ πρό τινων ἐνιαυτῶν ἐν ταύτῃ τῇ Ἐκκλησίᾳ πεπληρωμένῃ τῇ Σωόδῳ ᾠείθη, ἵνα οἱαδήποτε Ἐκκλησίαι, ἐὰν διοικήσει καθεσῶσαι, πρὸ τῶν νόμων τῶν περὶ τῶν δονατισῶν ἐνετεθέντων καθολικαὶ γένωνται, ἐκείνοις τῖς θρόνοις ἀνήκωσιν, ὧν τινῶν ὑπὸ τῶν Ἐπισκόπων πρόβαπεῖται τῇ καθολικῇ ἑνότητι ἐκοινώνησαν· μετὰ δὲ τοὺς νόμους οἱαδήποτε ἐκοινώνησαν, ἐκείνοις ἀνήκωσιν, οἷς ἢ ὅπε ἦσαν εἰς τὸ μέρος τῦ Δονάτυ. ἢ ἐπειδὴ πολλαὶ φιλονεικίαι ὕςερον μεταξὺ τῶν Ἐπισκόπων περὶ τῶν διοικήσεων ἀναφύησαν ἢ ἀναφύονται, οἷς τότε ἡ πλείω δοκεῖ γεγένθαι πρόνοια, νῦν ᾧ ταύτῃ τῇ Ἁγίᾳ Σωόδῳ ἤρεσεν, ἵνα ὁπεδήποτε καθολικὴ ἐγγένετο, ἢ τῦ μέρυς τῦ Δονάτυ ἢ διαφόροις θρόνοις ἀνήκυσαι ἦσαν, ᾧ οἱῳδήποτε καιρῷ σώσις ἐκεῖ ἐγένετο ἢ ἔσαι, εἴτε πρὸ τῶν νόμων, εἴτε μετὰ τὺς νόμυς, ἐκείνῳ τῷ θρόνῳ ἀνήκωσιν, ᾧ τινι ἡ ἔκπαλαι ἐκεῖ ὑπάρξασα καθολικὴ ἀνῆκεν.

ρκδ'. ΠΕΡΙ τῦ, πῶς μεταξὺ ἀλλήλων μερίσονται τὰς διοικήσεις οἱ Ἐπίσκοποι, τῦτο μὲν οἱ καθολικοί, τῦτο δὲ οἱ ἐκ τῦ δονάτυ ἐπισρέψαντες.

Οὕτω δηλαδή, ἵνα ὅπερ Ἐπίσκοποι ἀπὸ τῶν δονατισῶν πρὸς τῷ καθολικῷ σώματα ἐπέσρεψαν, ἴσα πρὸς ἀλλήλους διέλωσι τὰς ὅπως δήποτε διοικήσεις, ἐν ἃ ἦσαν ἀμφότερα τὰ μέρη. τῦτ' ἔσιν, ἵνα ἄλλοι τόποι πρὸς ἐκεῖνον, ἢ ἄλλοι πρὸς ἐκεῖνον αὐήκωσιν ὅπως, ἵνα ὁ παλαιότερος ἐν τῇ Ἐπισκοπῇ μείζη, ἢ ὁ ἧττων ἐπιλέγηται. εἰ δὲ τυχὸν ἓς ἔσαι τόπος, προσχωρίσῃ ᾧτινι μᾶλλον γειτνιάζειν δοκεῖ· ἐὰν δὲ ἀμφοτέροις τοῖς θρόνοις ἴσως γειτνιάζῃ, ἐκείνῳ παραχωρηθῇ, ὃν τὸ πλῆθος ἐπιλέξηται· εἰδὲ τυχὸν οἱ ἀρχαῖοι καθολικοὶ τὸν ἴδιον θελήσωσι, ἢ οἱ ἐκ τῦ μέρυς τῦ Δονάτυ μεταστρέψαντες τὸν ἴδιον, τῷ πλειόνων ἡ γνώμη προτιμηθῇ τῷ ὀλιγωτέρων. εἰ δὲ τὰ μέρη εἰσὶν ἴσα, τῷ παλαιοτέρῳ Ἐπισκόπῳ καταλογισθείη. ἐὰν δὲ ὅπως πλῆθοι οἱ τόποι αἱρεθῶσιν, ἐν οἷς ἀμφότερα τὰ μέρη εἰσὶν, ὡς μὴ δυνάσθαι ἐξ ἴσυ μερισθῆναι, τῦ ἀριθμῦ τῷ αὐτῶν τόπων αὐίσυ ὑπάρχοντος, πρῶτον μεριθῶσιν οἱ ἴσοι ἀριθμοὶ, ἢ τῷ ὀπομοίοντι τόπῳ τῦτο φυλαχθῇ, ὅπερ ἀνωτέρω λέλεκται, ὅτε περὶ τῦ σώυς ἐζητεῖτο τόπυ.

ρκε'. ΠΕΡΙ τῦ, ἐάν τινα διοίκησιν ἐξ αἱρέσεως ἐλευθερώσῃ Ἐπίσκοπος, ἢ περὶ ξιετίαν καπάχῃ, μηδενὶ ταύτην ἀναζητεῖν.

Ὁμοίως ἤρεσεν, ἵνα ἐάν τις μετὰ τὺς νόμυς τόπον τινὰ πρὸς τὸ καθολικὸν σῶμα μεταστρέψῃ, ἢ τῦτον ἐπὶ ξιετίαν μηδενὸς ἀναζητῦντος κατάσχοι, τῦ λοιπῦ

λοιπῶ παρ' αὐτῶ μὴ ἀναζητηθῆ· ἐὰν μέντοι αὐτὸς τῆς αὐτῆς ξιετίας ὑπῆρχεν Ε'πίσκοπος ὁ ὀφείλων ἀναζητῆσαι, καὶ ἡσύχασεν. εἰ δὲ μὴ ἴσως, μὴ προκειματισθῆ εἰ τῆ Μάξιμι, ἀλλ' ὅτε ὁ χηρεύων τόπος λάβη Ε'πίσκοπον, ἔξον εἴη αὐτῶ ἀπ' αὐτῆς τῆς ἡμέρας αὐτὸς Τεσσαρεσκαιδεκατίας ἀναζητῆσαι.

ρκ'. Ο'μοίως δὲ καὶ ἐὰν Ε'πίσκοπος ἐκ τῶν τῶ Δονάτω μερῶν πρὸς τὸν καθολικὸν ἐπιστρέψη, μὴ προκειματισθείη εἰ τῆ μάξιμι περὶ τῶ ὀφειλομένου χρόνου, ἀλλ' ἔξ ἧς ἡμέρας ἐπέστρεψεν, ἐχέτω ἔξουσίαν ἀναζητεῖν εἰς τὰς τῆς ξιετίας τῶς τόπους τῆ αὐτῶ αὐθέντας καθέδρα.

ρκ'. ΠΕΡΙ' τῶν τοῖς λαοῖς, οὓς νομίζουσιν ἰδίοις αὐθέντας ἀνήκειν, ἐπιβαινόντων παρὰ γνώμην τῶν αὐτῶς κατεχόντων.

Ο'μοίως ἤρεσεν, ἵνα οἱοιδήποτε Ε'πίσκοποι τὰ πλήθη, ἃ νομίζουσιν τῶ θρόνω αὐτῶν ἀνήκειν, μὴ ἔτως ἀναζητῶσιν, ὥστε ἄλλων Ε'πισκόπων κειμένων τὸ πράττειν· ἀλλ' ὑπὸ ἑτέρω κατεχομένοις ἐπέλθωσι τοῖς λαοῖς, εἴτε θέλουσιν, εἴτε μὴ θέλουσιν τῶ ἰδίω πράγματος τὴν ζημίαν ζημιώσουσιν· καὶ οἵτινες δήποτε τῶτο ἐποίησαν, εἰ μὴ ἡ μεταξὺ τῶν Ε'πισκόπων συνέλθοις ἐπερωτηθῆ, ἀλλ' ἀκμὴν περὶ τῶ αὐτῶ φιλονεικοῦσιν, ἐκεῖνος λυποῖ ἐκεῖθεν· περὶ οὗ δεηχθείη, ὅτι παρελάσας τὰς Ε'κκλησιαστικὰς δικαιὰς ἔφοδον ἐποίησεν, καὶ μὴ ἑαυτὸν τις κολακεύσῃ, εἰ ἐκ

τῶ πρω-

τῶ πρωτεύοντος γράμματα περὶ τῶ κατέχειν ἔλαβεν· ἀλλ' εἴτε γράμματα ἔχει, εἴτε οὐκ ἔχει, συνέλθοι τῶ κατέχοντι, καὶ παρ' αὐτῶ γράμματα λάβοι· ὥστε φανερῶσαι τῶν εἰρωνικῶς τὸν αὐτῶ ἀνήκουσαν καταχεῖν Ε'κκλησίαν. ἐὰν δὲ καινοῦ τινα ζήτησιν ἀντεναγάγη, καὶ αὐτὴ περατωθῆ μεταξὺ Ε'πισκόπων κειμένων, εἴτε ὡς ὁ πρωτεύων αὐτῆς δῶ, εἴτε ὡς γειτνιῶντες καὶ συναίνεσιν ἐπιλέξωνται.

ρκ'. ΠΕΡΙ' τῶν ἀμελούντων τῶν αὐτῆς ἀνηκόντων λαῶν.

Ο'μοίως ἤρεσεν, ἵνα οἵτινες δήποτε ἀμελῶσι τῶν τόπων τῶν ἀνηκόντων τῆ αὐτῶν καθέδρα, πρὸς τῶς περδαναι πρὸς τὸν καθολικὸν ἑνότητα ἐγκληθῶσιν ἀπὸ τῶν γειτνιώντων αὐτοῖς ἐπιμελῶν Ε'πισκόπων, περὶ τῶ, μὴ ἀναβάλλεσθαι τῶτο πράξαι· διὸ ἐὰν αὐτὸς προθεσμίας μειῶν ἐξ ἀπὸ τῆς ἡμέρας τῆς περὶ τῶτο (*) συνελθόσεως μηδὲν αὐτοῖς, τῶ δυναμένω λοιπὸν τῶς περδαναι προσκυρωθῶσιν· ἔτως μέντοι, ἵνα ἐὰν ἐκεῖνος πρὸς ὃν δείκνυται, αἰτήσῃ, οἱ τοιῶτοι ἐξεπίτηδες διά τινα οἰκονομίαν ἔδοξεν ἀμελεῖν. τῶτο δὲ αἱρετικῶν ἐπιλεξαμένων, ὥστε ἀθορύβως αὐτῶς παραδέξασθαι· καὶ εἰ τοσοῦτω ἡ αὐτῶ ἐπιμέλεια ἀπὸ ἑτέρω προελήφθη, ἤτινι, εἰ κατεχρήσαντο, τῶς αὐτῶς αἱρετικῶς πλέον ἐκάκιζεν· τῶτο μεταξὺ Ε'πισκόπων κειμένων διαγινωσκομένω, οἱ τόποι τῆ αὐτῶ καθέδρα

(*) Συνελθόσεως.

διεκρα-

ἀποκαπασαθῶσιν· ἢ δὲ κειόντων Ἐπισκόπων, ἐν διαφόρων ὄντων ἐπαρχιῶν ἐκεῖνος ὁ πρωτδῶν τὰς δικασὰς δώσει, ἔτινος ἐν τῇ χώρᾳ ὁ αὐτὸς ὑπάρχει τόπος, περὶ ἧ φιλονεικεῖται· ἐὰν δὲ μὴ κοινῷ σωαίνεσιν γείτονας ἐπιλέξωνται κειτὰς, ἢ εἷς ἐπιλεγῇ ἢ ξεῖς· ἢ ἐὰν ξεῖς ἐπιλέξωνται ἢ ἀρεσῶσι, ἢ τῇ ἢ ὅλων ψήφῳ διακολαθήσωσιν, ἢ τῇ ἢ δύο.

ρκή. ΟΤΙ ἂν ὀφείλει ἢ ἐπιλεγομένων δικασῶν ἡ γνώμη διαθεσεῖται· ἀπὸ δὲ τῶν δικασῶν τῶν κατὰ κοινῷ σωαίνεσιν ἐπιλεγόντων, μὴ διεῖναι ἐκβαλεῖσθαι. ὅσις δὲ δήποτε ἀποδεχθείη διὰ μοτονοίαν μὴ θέλων τοῖς δικασαῖς πειθαρχῆσαι, κἂν γινώσκων τῆς πρώτης καθέδρας Ἐπίσκοπος δώσει γράμματα, ὡς τε μηδένα τῶν Ἐπισκόπων αὐτῷ κοινωνῆσαι, ἕως ἂ πειθαρχήσῃ.

ρκθ'. ΩΣΤΕ τὸν καταφρονεῖν τῆς ἰδίας διοικήσεως Ἐπίσκοπον σερεῖσθαι τῆς κοινωνίας. Ἐὰν ἐν τοῖς Μαζικίοις, ἦγεν ἐν ταῖς καθέδραις Ἐπίσκοπος ἀμελὴς γένηται κῇ τῶν αἱρετικῶν, ὑπομνησθείη ἀπὸ τῶν γειτνιώντων Ἐπισκόπων ἐπιμελῶν, κῇ ὑποδεχθείη αὐτῷ ἡ ἰδία περιφρόνησις πρὸς τὸ μὴ ἔχειν ἀπολογίαν· ἐὰν δὲ ἀφ' ἧς ἡμέρας ὑπομνησθῇ ἐντὸς μηνῶν ἓξ ἐν τῇ αὐτῇ ἐπαρχίᾳ διάγων, μὴ τῶν ὀφειλόντων πρὸς τὸν καθολικὸν ἑνότητα ἐπισραφῆναι φροντίδα ποιήσηται· ᾧ τοιούτῳ μὴ συγκοινωνηθῆ.

ἕως ἂ πάντα πληρώσῃ· εἰ δὲ ὁ ἐπεξεργασὴς εἰς τὰς αὐτὰς τόπας μὴ παραγένηται, τῷ Ἐπισκόπῳ μὴ ἐπιγραφῆ.

ΠΕΡΙ' τῶν τὰς δοναπισὰς κοινωνῆσαι ψαδομένων Ἐπισκόπων, ρλ'.

Ἐὰν δὲ ἀποδεχθῇ τὸν τοιοῦτον ψαδσάμενον περὶ τῆς ἐκείνων κοινωνίας, ἐν τῷ λέγειν, αὐτὰς κεκοινωνικέναι, ἃς δέκνυται, σωειδήσει αὐτᾷ μὴ κοινωνῆσαι, κῇ τιμῷ Ἐπισκοπῷ ἔτι μιῷ ἀπολέσει.

ΠΕΡΙ' Πρεσβυτέρων κῇ κληρικῶν, ἵνα μὴ ἐκκαλῶνται, εἰ μὴ πρὸς τὰς τῆς Ἀφρικῆς Συνόδους. ρλά.

Ὁμοίως ἤρεσεν, ἵνα Πρεσβύτεροι, Διάκονοι, κῇ οἱ λοιποὶ κατώτεροι κληρικοὶ, ἐν αἷς ἔχωσιν αἰτίαις, ἐὰν περὶ τῆς ψήφου τὰς ἰδίας Ἐπισκόπους μέμφωνται, οἱ γειτνιῶντες Ἐπίσκοποι τούτων ἀκροάτονται, κῇ τὰ μεταξὺ τούτων περατώσωσιν οἱ παρ' αὐτῶν κῇ σωαίνεσιν τῶν ἰδίων αὐτῶν Ἐπισκόπων προσλαμβανόμενοι· ἐὰν δὲ κῇ ἀπ' αὐτῶν ἐκκαλέσασθαι θελήσωσιν, μὴ ἐκκαλέσωνται, εἰ μὴ πρὸς τὰς τῆς Ἀφρικῆς Συνόδους, ἢ πρὸς τοὺς πρωτδόντας τῶν ἰδίων αὐτῶν ἐπαρχιῶν· πρὸς δὲ τὰ πέραν τῆς θαλάσσης ὁ βυλόμενος ἐκκαλεῖσθαι, ἀπὸ μηδενὸς ἐν Ἀφρικῇ δεχθείη εἰς κοινωνίαν.

ΠΕΡΙ' παρθένων μικρῶν, ἔτι μιῷ καλυπτέων. ρλβ'.

Ὁμοίως ἤρεσεν, ἵνα ὁσισδήποτε τῶν Ἐπισκόπων

δι' ἀνάγκλω τῆς παρθενικῆς σωφροσύνης κινδυνεύσης, ὅτε ἡ ἐρασὴς δυνατὸς, ἢ ἁρπαξ τίς ἐστιν ἐν ὑποψίᾳ, ἢ ἔτι μὴν ὑπό τινος θανατηφόρᾳ κινδύνῳ αὐτὴ ἔσηται νυχθεῖσα, παρακαλύπτων ἢ τῶν γονέων αὐτῆς, ἢ ὧν τῇ φροντίδι ἀνάκειται, διὰ τὸ μὴ χωρὶς τῆ χήματος τελειωθῆναι, καλύψῃ παρθένον ἢ ἐκάλυψεν οἰκὸς κείρας ἑαυτῶν εἰκοσιπέντε, μηδὲ τὸν τοιοῦτον βλάψῃ περὶ τὸν τῆ ἀριθμῆ τῶν ἑαυτῶν καταξαθεῖσα Σιῶοδος.

ρλγ'. ΔΙΑ' τὸ, μὴ δεῖς Ε'πισκόπους ἐπιπολὺ ἐν τῇ Σιῶόδῳ κατέχεσθαι, ἐξ ἑκάστης ἐπαρχίας ἀνὰ ξεῖς ἐπιλέξωνται δικαστάς.

Ο'μοίως ἤρεσεν πάσῃ τῇ Σιῶόδῳ, διὰ τὸ μὴ ἐπιπολὺ δεῖς πρὸς τὴν Σιῶοδον σιναχθέντας Ε'πισκόπους σύμπαντας κατέχεσθαι, ἐξ ἑκάστης ἐπαρχίας ἀνὰ ξεῖς ἐπιλεγῆναι δικαστάς.

Καὶ ἐπελέγησαν, ἐκ τῆς ἐν Καρχηδόνι Ε'κκλησίας, Βικέντιος, Φερματιανὸς καὶ Κλάρος· ἐκ τῆς Νουμιδικῆς ἐπαρχίας, Α'λύπιος, Αὐγουστῖνος, καὶ Ρ'εστῦτος· ἐκ τῆς Βυζακινῆς ἐπαρχίας, μετὰ δε ἁγιωτάτου γέροντος Δοναταινοῦ τε πρωτόντος, Κρεσκώνιος, Γαυδῶσος, καὶ Αἰμιλιανός· ἐκ τῆς Μαυριτανίας Σιτιφέσης, Σεβηριανὸς, Α'σιατικὸς, καὶ Δονᾶτος· ἐκ τῆς Τριπολιτανῆς ἐπαρχίας, Πλαύτιος, ὁ καὶ τὸ ἔθνος εἰς τοποτηρησίαν πεμφθεὶς· οἵ τινες πάντες μετὰ τὸν ἁγιωτάτου γέροντος Αὐρηλίου σύμπαν-

σκοπήσουσιν· ἀφ' ἧς ἤτησεν σύμπασα ἡ Σιῶοδος, ἵνα πᾶσιν εἴτε πεπραγμένοις τοῖς ἤδη ἐκτελεσθεῖσιν, εἴτε Ε'πιστολαῖς αὐτὸς ὑπογράψῃ.

Καὶ ὑπέγραψαν. Αὐρήλιος Ε'πίσκοπος τῆς ἐν Καρχηδόνι Ε'κκλησίας τῷ παρόντι ψηφίσματι συνήνεσα, καὶ ἀναγνωσθέντι ὑπέγραψα. ὁμοίως καὶ οἱ λοιποὶ Ε'πίσκοποι ὑπέγραψαν.

ΠΑ'ΛΙΝ Ε'Ν ΤΑΥ'ΤΗ, τῇ Σιῶόδῳ παρῶν τῆς Ρ'αϊκῆς Ε'κκλησίας τοποτηρησία.

Μετὰ τὴν ὑπατείαν τῆς ἐνδοξοτάτων βασιλέων Ο'νωρίου τὸ δωδέκατον, καὶ Θεοδοσίου τὸ ὄγδοον, τῆς Αὐγούστων, τῇ πρὸ ξιῶν Καλανδῶν Ι'ουνίων ἐν Καρχηδόνι εἰς τὸ σύνιπτον τῆς Ρ'εσιτούτης Ε'κκλησίας, Αὐρηλίου τε Ε'πισκόπου ἅμα Φαυστίνῳ Πικέντῳ τῆς Ποτεντινῆς Ε'κκλησίας τῆς Ι'ταλῶν χώρας, τοποτηρητῇ τῆς Ρ'ωμαϊκῆς Ε'κκλησίας, Βικεντίῳ Κωλουσιτάνῳ, Φερματιανῷ Νεαπολίτῃ, Μαυριανῷ Οὐζιπαρουσιώτῃ, Α'δεωδάτῳ Σιμιδικίτῃ, Πανταδίῳ Καρπιτανῷ, Ρ'ουφιανῷ Μαζουσιανῷ, Πραιπεξτάτῳ Σικιλιβουσιώτῃ, Κουοδβυλτδέῳ Οὐκρουσιανῷ, Καυδίδῳ Α'ββιλιτανῷ, Γαλλωνίῳ Οὐτικενσιώτῃ, τοῖς τοποτηρηταῖς τῆς Α'νθυπατιανῆς χώρας. Α'λυπίῳ Θαγαβουσινῷ, Αὐγουστίνῳ Ι'ππονρεγιανῷ, Ποστιδίῳ Καλαμουσινῷ, τοῖς τοποτηρηταῖς τῆς Νουμιδικῆς χώρας. Μαξιμιανῷ Α'κυρεγουσιώτῃ, Γαυδίῳ Σουφετουλουσιανῷ, Μαξιμιανῷ ἐκ τῆ αὐτῆ, καὶ Γλαυκιανῷ

τῶ ἀπὸ Ο'ρρεοκελίων, τοῖς τοποτηρηταῖς τῆς Βαζακινῆς χώρας· Νοβάτῳ Σιτηφενσιώτῃ, καὶ Λέοντι Ο'πτενσιανῷ, τοῖς τοποτηρηταῖς τῆς Μαυριτανῶν χώρας τῆς Σιτηφένσης· Νινέλλῳ Ρ'ασκρπενσιανῷ, Λαυρεντίῳ Ι'κοσιζανῷ, καὶ Νεμεριανῷ Ρ'ασαγγιώτῃ, τοῖς τοποτηρηταῖς τῆς Καισαριανῆς Μαυριζανῶν χώρας, ἐκ πάσης τῆς Σινόδε κριταῖς ἐπιλεγεῖσιν, παρεσώτων μὲν Διακόνων, προκαθίσαντος. καὶ τινων ἐξανυστέων, πολλῶν δὲ Ε'πισκόπων ἐπὶ τοῖς λοιποῖς ἐξανυθησομένοις παρέλκειν ὀδυρομένων καὶ ἐνοφέρειν μὴ δυναμένων, ἀλλὰ τὸ, πρὸς τὰς ἰδίας ἐπιγεσθαι Ε'κκλησίας, ἤρεσεν συμπάσῃ τῇ Σινόδῳ, ὥςε ἀπὸ πάντων ἐπιλεγῶναι ἐκ μιᾶς ἑκάςης ἐπαρχίας τὺς ὀφείλοντας ἀποκαθῖσαι χάριν τῦ, τὰ λοιπὰ περατῶσαι· καὶ ἐγένετο, ὡς τε παρῶναι, ὧν ἐνοφαὶ τινὶ αὐτῶν παρεσίαν μαρτύρονται.

ρλδ'. Ο"ΤΙ οἱ ἀπὸ κοινωνίας ὄντες, εἰς κατηγορίαν ἂν ὀφείλεσιν προσδεχθῆναι. Η"ρεσεν τοίνυν πᾶσιν ἐπειδὴ τοῖς ἀνωτέροις τῶν Σινόδων ψηφίσμασι περὶ προσώπων κληρικῶν, τῶν μὴ ὀφειλόντων εἰς κατηγορίαν προσδεχθῆναι ὠρίσθη, καὶ ἂν ἐπεξεργάσθη, ποῖα πρόσωπα μὴ προσδεχθῶσιν, ἀλλὰ τῦτο ὁρίζομεν τῦτον ὀρθῶς πρὸς κατηγορίαν μὴ εἰσδέχεσθαι, ὃς τις μετὰ τὸ ἀπὸ κοινωνίας γενέσθαι, εἰ αὐτῷ ἔτι τῷ ἀφορισμῷ ὑπάρχει, εἴτε κληρικὸς ἦν, εἴτε λαϊκὸς ὁ κατηγορῆσαι βουλόμενος.

Ο"ΤΙ

Ο"ΤΙ δοῦλοι μὴ ἀπελεύθεροι μὴ παντὰ τὰ ἀτιμωμένα πρόσωπα, κατηγορεῖν δὲν ὀφείλεσιν. ρλε.

Ο'μοίως ἤρεσεν, ἵνα πάντες οἱ δοῦλοι καὶ οἱ ἴδιοι ἀπελεύθεροι, εἰς κατηγορίαν μὴ δεχθῶσιν· καὶ πάντες, ὃς πρὸς κατηγορητέα ἐγκλήματα οἱ δημόσιοι νόμοι ἃ προσδέχονται, πάντες ἔτι μὴν οἱ τοῖς τῆς ἀτιμίας ὠνίοις ἐρραντισμένοι, ἢ τέτοιν μῖμοι, καὶ ὅσα ταῖς αἰσχρόπησιν ἐνοβέβληται πρόσωπα; αἱρετικοὶ ἔτι μὴν εἴτε Ἕλληνες εἴτε Ι'ουδαῖοι· πλὴν ὅμως πᾶσιν οἷς ἡ τοιαύτη κατηγορία ἀρνεῖται διὰ ταῖς ἰδίαις αἰτίαις τὴν τῦ κατηγορεῖν ἄδειαν μὴ ὀφείλειν ἀρνεῖσθαι.

Ι"ΝΑ ὁ περὶ τῦ ἐγκλήματος ἀποδεῖξαι μὴ δυνάμενος, πρὸς ἕτερον μὴ εἰσδεχθῇ. Ο'μοίως ἤρεσεν, ρλς'.
ἵνα ὁσακισδήποτε πλείοσι ἀπὸ κατηγόρων πολλὰ ἐγκλήματα ἐνοβάλλωνται, καὶ ἐὰν ἐξ αὐτῶν περὶ ἃ πρῶτον ἐπράχθη, ἀποδειχθῆναι δὲν ἠδυνήθη, πρὸς τὰ λοιπὰ μετὰ ταῦτα μὴ προσδεχθῶσιν.

ΤΙΝΑΣ δεῖ προσδέχεσθαι εἰς μαρτυρίαν. Μάρτυρας δὲ εἰς μαρτυρίαν μὴ εἰσδέχεσθαι, τὺς μὴ δὲ πρὸς κατηγορίαν εἰσδεχθῆναι παραγγελθέντας, ἢ ἔτι μὴν ὃς αὐτὸς ὁ κατήγορος ἐν τῷ ἰδίῳ οἴκῳ προσκομίσει· μαρτυρία δὲ ἐνὸς κρίνας ἑαυτῶν δεκατεσσάρων μὴ προσδεχθείη. ρλζ.

ΠΕΡΙ' Ε'πισκόπῳ τῷ ἀπὸ κοινωνίας ποιῦντος τὸν αὐτῷ μόνῳ τὸ ἴδιον ἔγκλημα ὁμολογήσαντα. ρλή

Ομοίως ἤρεσεν, ἵνα ἐάν ποτε Ἐπίσκοπος λέγῃ τινὰ αὐτῷ μόνῳ τὸ ἴδιον ἔγκλημα ὁμολογῆσαι, καὶ ἐκεῖνος ἀρνῆται, μὴ λογήσηται ὁ Ἐπίσκοπος εἰς ἰδίαν ὕβριν σωτείνειν. ὅτι αὐτὸς μόνος ὑπισχνεῖται· εἰ δὲ τῷ σκινδαλμῷ τῆς ἰδίας συνειδήσεως λέγει μὴ θέλειν ἑαυτὸν κοινωνεῖν τῷ ἀριθμεῖν,

ρλθ'. ΙΝΑ μὴ ὡς ἔτυχέ τινα στερήσῃ τῆς κοινωνίας ὁ Ἐπίσκοπος. (*) ἀφ' ἴσον τῷ ἀφωρισμένῳ μὴ κοινωνεῖ ὁ ἴδιος Ἐπίσκοπος, τῷ αὐτῷ Ἐπισκόπῳ ἄλλοι μὴ συγκοινωνήσωσιν Ἐπίσκοποι, ὥστε μᾶλλον παραφυλάττεσθαι, τὸν Ἐπίσκοπον μὴ λέγειν κατά τινος, ὅπερ ἀποδείξεσιν ἐλέγξαι παρ' ἑτέροις οὐ δύναται.

Αὐρήλιος Ἐπίσκοπος εἶπεν· καὶ τὰ ὀφθέντα τῇ γνώμῃ πάσης τῆς συναθροισθείσης Συνόδου καὶ τῆς ἐμῆς μετριότητος ἀρέσκει, πάντων τῶν πραγμάτων τὸ προδηλωθέντος ὁλοτελῆ τίτλον ποιῆσαι τὸ συμπέρασμα, καὶ τῷ συζήτησιν τῆς ἐκτυπώσεως, τῆς παρούσης ἡμέρας τὰ Ἐκκλησιαστικὰ πεπραγμένα ἀναδέξονται· ἅτινα δὲ ἀκμὴν οὐκ ἐπεξεργάσθησαν, τῇ ἑξῆς ἡμέρᾳ ἐκ τῶν ἀδελφῶν ἡμῶν Φαυστίνου τοῦ Ἐπισκόπου, Φιλίππου καὶ Ἀσέλλου τῶν Πρεσβυτέρων, τοῦ προσκυνητοῦ ἀδελφοῦ καὶ Συνεπισκόπου ἡμῶν Βονιφατίῳ ἀντιγράψωμεν. Καὶ ὑπέγραψαν. Αὐρήλιος Ἐπίσκοπος τοῖς παροῦσι τῶν ὅρων πεπραγμένοις τοῖς παρ' ἡμῖν ἐνομένοις ὑπέγραψα. Βαλεντῖνος τῆς πρώ-

(*) Ἐφ' ὅσον.

της

της καθέδρας Ἐπίσκοπος τῆς Νουμιδικῆς χώρας, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα· Φαυστῖνος Ἐπίσκοπος τῆς Ποτεντινῆς Ἐκκλησίας, ἐπαρχίας Πικένου, ποτοπρητὴς τῆς Ρωμαϊκῆς Ἐκκλησίας, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα. Αὐλύπιος Ἐπίσκοπος Θυγατένσης, τοποτηρητὴς τῆς Νουμιδικῆς χώρας, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα. Αὐγουστῖνος Ἐπίσκοπος Ἱππώνης, τοποτηρητὴς τῆς Νουμιδικῆς ἐπαρχίας, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα· Ποσειδίος Ἐπίσκοπος Καλαμένσης, τοποτηρητὴς τῆς Νουμιδικῆς ἐπαρχίας, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα. Φορτουνατιανὸς Νεαπολίτης, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα. Πανάδιος Καρπετιανὸς, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα. Πρωτέξτατος Σικλιβαίνος, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα. Κυαδβυλτδέος Βεζίσης, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα. Καίδιδος Γερμανίας, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα. Γαλλώνιος Οὐτικένσης, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα· Γενέθλιος Σωφρονιανὸς, τοποτηρητὴς τῆς Βυζακηνῆς ἐπαρχίας, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα. Μαξιμιανὸς, τοποτηρητὴς τῆς Βυζακηνῆς ἐπαρχίας, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα· Γλαυκιανὸς Ὀρρεουίλης, τοποτηρητὴς τῆς Βυζακηνῆς χώρας, τοῖς παροῦσι πεπραγμένοις ὑπέγραψα. Νίνεδος Ῥουσπινάτης, τῆς Καισαριανῆς χώρας τοποτηρητὴς, τοῖς

παρῶσι πεπραγμένοις ὑπέγραψα. Λαυρέντιος Γ'κοσιτανὸς, τῆς Καισαριανῆς χώρας τοποτηρητὴς, τοῖς παρῶσι πεπραγμένοις ὑπέγραψα. Νεμεσιανὸς Ρ'εσβυτεριώτης, τῆς Καισαριανῆς χώρας τοποτηρητὴς, τοῖς παρῶσι πεπραγμένοις ὑπέγραψα. Λέων Α'πομόπτης, τῆς Καισαριανῆς χώρας τοποτηρητὴς, τοῖς παρῶσι πεπραγμένοις ὑπέγραψα. Α'λλος Λέων, τῆς Σιτηφσίνης ἐπαρχίας τοποτηρητὴς, τοῖς παρῶσι πεπραγμένοις ὑπέγραψα. Καὶ οἱ λοιποὶ Ε'πίσκοποι ἑξακοσιοιδεκαεπτὰ ὁμοίως ὑπέγραψαν. Φίλιππος Πρεσβύτερος τοποτηρητὴς τῆς Ρ'ωμαϊκῆς Ε'κκλησίας, τοῖς παρῶσι πεπραγμένοις ἀφ' ἡμῶν ἀναγνωσθεῖσιν ὑπέγραψα. Α'σελλος Πρεσβύτερος, τοποτηρητὴς τῆς Ρ'ωμαϊκῆς Ε'κκλησίας, τοῖς παρῶσι πεπραγμένοις ὑπέγραψα, τοῖς δ' ἡμῶν ἀποσταλεῖσιν.

Α'ΡΧΕΤΑΙ ἡ ἀπὸ πάσης τῆς ςὼ Α'φρικῇ Συνόδε πρὸς Βονιφάτιον τὸν τῆς Ρ'ωμαίων Ε'κκλησίας Ε'πίσκοπον, διὰ Φαυστίνε Ε'πισκόπε, Φιλίππε καὶ Α'σέλλε Πρεσβυτέρε, ἔφ τοποτηρητῶν τῆς Ρ'ωμαϊκῆς Ε'κκλησίας ἀποσταλεῖσα ἐπιστολή.

ΔΕΣΠΟ'ΤΗ, ΜΑΚΑΡΙΩΤΑ'ΤΩ, καὶ Τιμιωτάτῳ ἀδελφῷ Βονιφατίῳ, Αὐρήλιος, Βαλεντῖνος τῆς πρώτης καθέδρας τῆς Νεμιδικῆς ἐπαρχίας, καὶ οἱ λοιποὶ οἱ παραγενόμενοι τὸν ἀριθμὸν ἑξακοσιοιδεκαεπτὰ, ἐκ πάσης τῆς ςὼ Α'φρικῇ Συνόδε.

Ε'ΠΕΙΔΗ' τῷ Κυρίῳ ἤρεσεν, ἵνα περὶ ὧν ἅμα

ἡμῖν

ἡμῖν διεπραξαντο οἱ ἁγιώτατοι ἀδελφοὶ ἡμῶν, Φαυστῖνος ὁ Συνεπίσκοπος, καὶ οἱ συμπρεσβύτεροι Φίλιππος καὶ Α'σελλος, μὴ τῷ τῆς μακαρίας μνήμης Ζωσίμῳ τῷ Ε'πισκόπῳ, ἀφ' ὃ πρὸς ἡμᾶς γράμματα καὶ ςόλας ἤγαγόν, ἀλλὰ τῇ ὑμετέρᾳ τιμιότητι εἰς τὸν ἐκείνε τόπον θεόθεν καθαθείσῃ ἡ ἡμετέρα βραχύτης ἀντιγράψῃ, τὰ τῇ ἑκατέρων ἡμῶν ὁμονοίᾳ περατωθέντα ὀφείλομεν διὰ βραχέων ἐμφανῆ καταςῆσαι, ἃ μὲν τὰ τοῖς ἐκτεθαμένοις ἤδη πεπραγμένων κυλίσμασι κατεχόμενα· ἐν οἷς σωζομένης μὲν τῆς ἀγάπης, ἃ χρεὶς δὲ μικρᾶς τῆς ἀμφισβητήσεως καμάτε παρειλκύσαμεν, σκεπτόμενοι τὰ εἰς τὸ πρᾶγμα σωτήρια, τοῖς πεπραγμένοις ἐνθεῖναι. καὶ ἐκεῖνος γὰρ, εἰ ἔτι ἦν ἐν τῷ σώματι πάτῳ, χαριέςερος ἐδέχετο, ὅπερ ἔβλεπεν εἰρηνικωτέρως περατωθὲν Κύριε ἀδελφέ. Α'πιάριος ὁ Πρεσβύτερος, ἔ τινος καὶ περὶ τῆς χειροτονίας καὶ τῆς ἀκοινωνησίας καὶ προκλήσεως ἀνεφύη, ἃ μόνον τῇ ἐν Σίκῃ, ἀλλὰ καὶ τῇ ἐν πάσῃ τῇ Α'φρικῇ Ε'κκλησίᾳ, ἃ μικρὸν σκάνδαλον περὶ πάντων, ὧν ἐπλανήθη, συγγνώμην αἰτήσας, τῇ κοινωνίᾳ ἀποκατέςη. πρῶτος γὰρ ὁ Συνεπίσκοπος ἡμῶν Οὐρβανὸς ὁ τῆς Σίκης, ὅσον ἦν ἐν αὐτῷ διορθωτέον, ἀναμφιβόλως διωρθώσατο. ἐπειδὴ δὲ τῆς Ε'κκλησιαστικῆς εἰρήνης καὶ ἡσυχίας ἃ μόνον πρὸς τὸ παρὸν, ἀλλὰ καὶ εἰς τὸ ἑξῆς ἔδει πρόνοιαν ποιήσαθαι, ὅτι πολλὰ πλανῶντα προηγήσαντο, ὅπως ἀπὸ τῆς

ομοίων ἢ καὶ βαρυτέρων ἁμαρτημάτων μετὰ ταῦτα προπαραφυλαξώμεθα· ἤρεσεν ἡμῖν ἵνα ἐν τῇ ἐν Σίκῃ Ἐκκλησίᾳ ἀποκινηθῇ ὁ Πρεσβύτερος Ἀπιάριος, φυλαττομένης αὐτῷ δηλονότι τῆς τιμῆς τοῦ βαθμοῦ αὐτοῦ· καὶ λαμβάνων Ἐπιστολὰς ὁπουδήποτε ἀλλαχοῦ βοηθείας καὶ δυνηθείας τῷ καθήκοντι τοῦ πρεσβυτερικοῦ λειτουργήσῃ, ὅπερ τῷ αὐτῷ Ἀπιαρίῳ δι' οἰκείων γραμμάτων αἰτήσαντι χωρίστινος δυχερείας σωνεχωρήσαμεν· πρὸ τοῦ δὲ ἡ αἰτία αὕτη τῷ τοιούτῳ πέρατι παραδοθῇ μεταξὺ τῶν ἄλλων, ἅτινα διωρεκέσιν διαγνώσεσιν ἀναγρέφομεν αὐτοῦ τοῦ λόγου ἀπαιτήσαντος, ὥστε τοὺς Ἐκκλησιαστικοὺς πεπραγμένοις ζητῆσαι ἡμᾶς παρὰ τῶν ἀδελφῶν ἡμῶν Φαυστίνου τοῦ Σωεπισκόπου, καὶ Φιλίππου καὶ Ἀσέλλου τῶν συμπρεσβυτέρων, ἵνα προενέγκωσιν εἰτιδήποτε ἰδίᾳ αὐτοῖς ἅμα ἡμῖν πρακτέον ἐπιζαπεν, τινὰ μὲν ἀγράφως διὰ λόγων ἐπεξεργάσατο· ἡμῶν δὲ ἀπαιτησάντων ὅπερ ἐπεφέροντο ἔγγραφον καμμοπιέσιον, τοῦτο προήγαγον, ὅπερ ἀναγνωσθὲν παρ' ἡμῶν, τοῖς πεπραγμένοις ἔτι μᾶλλον ἐνεπάγη τοῖς καὶ πρὸς ἡμᾶς δι' αὐτῶν ἐπὶ τοῦ παρόντος φερομένοις. ἐν ᾧ τέσσαρα αὐτοῖς τινὰ ἅμα ἡμῖν πρακτέα ἐνεπάγησαν· ἓν μὲν περὶ ἐγκλήτων Ἐπισκόπων πρὸς τὸν τῆς Ῥωμαίων Ἐκκλησίας ἱερέα. δεύτερον, ἵνα ἐπὶ τὸ κομιπᾶτον Ἐπίσκοπον ὡς ἔτυχεν μὴ πλάσωσιν· τρίτον, περὶ τοῦ, τὰς αἰτίας τῶν Πρεσβυτέρων καὶ Διακόνων ζητεῖσθαι παρὰ τοῖς ὁμόροις

Ἐπι-

Ἐπισκόποις, ἐὰν ἐκ τῶν ἰδίων διακοινωνίας προπετῶς γένωνται· τέταρτον, περὶ Οὐρβανοῦ τοῦ Ἐπισκόπου διακοινωνητέου, ἢ ἔτι μᾶλλον τῇ Ῥωμῇ κλητέου, εἰ μὴ τὰ ὀφείλοντα διορθωθῶσι διορθώσονται· ἐξ ὧν πάντων περὶ τοῦ πρώτου καὶ τελείου, τοῦτέστιν, ἵνα ἔξεστιν εἰς Ῥώμην τοῖς Ἐπισκόποις ἐκκαλεῖσθαι, καὶ ὅτι ἐκ κλητικῶν αἱ αἰτίαι παρὰ τοῖς ἐπαρχιῶν αὐτοῖς Ἐπισκόποις περατοῦνται ἤδη τῷ προλαβόντι ἑαυτῷ. γράμμασιν ἔτι μᾶλλον ἡμετέροις περιφθεῖσιν τῷ αὐτῷ τοῦ προσκυνητοῦ μνήμης Ζωσίμῳ τῷ Ἐπισκόπῳ ἐσπουδάσαμεν ἐμφανῆσαι, ἵνα ταῦτα χωρίς τινος ὕβρεως αὐτοῦ πρὸς ὀλίγον φυλάξωμεν, ἕως ἡ ζήτησις γένηται τῆς ὅρων τῆς τῶν Νικαίᾳ Συνόδου· καὶ ἡμῖν δὲ ἀπὸ τῆς σῆς αἰτήμεθα ἁγιωσύνης, ἵνα ὁμοίως ταῦτα τὰ τῶν Νικαίᾳ ἀπὸ τῶν Πατέρων ἐπράχθησαν καὶ ὡρίσθησαν, ἔτως αὐτὰ παρ' ἡμῶν φυλαχθῆναι ποιήσῃς· καὶ αὐτόθι παρ' ὑμῖν τὰ τοῦ αὐτοῦ κείμενα κομμονιτορίῳ γυμναθῆναι ποιήσῃς. τοῦτέστιν, ἐὰν Ἐπίσκοπος κατηγορηθῇ, καὶ οἱ συνελθόντες Ἐπίσκοποι τῆς αὐτῆς ἐπαρχίας κρίνωσιν, καὶ ἐκ τοῦ βαθμοῦ αὐτοῦ καθέλωσιν αὐτὸν, ὅταν δόξῃ ἐκκαλεῖσθαι καὶ πρὸς τὸν μακαριώτατον τῆς Ῥωμαίων Ἐκκλησίας Ἐπίσκοπον καταφύγῃ· ἐὰν συνιδὴ αὐτὸν ἀκεσθῆναι, καὶ δίκαιον λογίσηται, ὥστε ἀνοχθῆναι τοῖς κρίσιν, γράψαι καταξιώσῃ τοῖς τῇ ὁμόρῳ καὶ ἐγγιζούσῃ ἐπαρχίᾳ καθεστῶσιν Ἐπισκό-

ποις, ἵνα αὐτοὶ πάντα ἐπιμελῶς ἀναζητήσωσιν, καὶ
κῇ τῳ πίστιν τῆς ἀληθείας περαιώσωσιν· ἐὰν δὲ κὴ
ὁ παρακαλῶν τῳ αἰτίαν αὐτῷ ἄνωθεν ἀκριβῶσαι
ἰδίᾳ ἱκεσίᾳ κινήσῃ τὸν Ῥωμαϊκὸν Ἐπίσκοπον, ἵνα
ἐκ τῶ ἰδικῶ αὐτῷ πλήρῃ Πρεσβύτερον ἀποστείλῃ σὺν
τῇ ἐξουσίᾳ, πάντως, τῷ Ἐπισκόπῳ, τί βουληθῇ καὶ
τί κρίνῃ. καὶ ἐὰν ψηφίσηται τὰς ὀφείλοντας μετὰ τῆς
Ἐπισκόπων παρόντας κρῖναι, ἔχοντας τὴν αὐθεν-
τείαν αὐτῷ ἐξ ἧς ἀπεσάλησαν, ἔσαι σὺν τῇ κρίσει
αὐτῷ· ἐὰν δὲ κὴ πιστεύσῃ ἀρκεῖν τὰς Ἐπισκόπους πρὸς
τὸ περαιῶσαι τὰ τῶ πράγματος, ποιήσῃ ὅπερ τῷ σο-
φωτάτῳ αὐτοῦ συμβούλῃ βουλεύματι. Ὁμοίως περὶ
Πρεσβυτέρων καὶ Διακόνων, ἐάν τις Ἐπίσκοπος ὀρ-
γίλος, ὅπερ εἶναι μὴ ὀφείλει, ταχέως ἢ βραχέως κι-
νηθῇ κῇ Πρεσβυτέρᾳ ἢ Διακόνῳ ἰδίᾳ, καὶ θελήσαι
τῶν ἐκ τῆς ἰδίας ἐξορίσαι Ἐκκλησίας. προνοητέον
ἐστὶν, ἵνα μὴ ἀδίκως καταδικασθῇ ἢ ἀπολέσῃ τὴν
κοινωνίαν. ἐχέτω ὁ ἐκβληθεὶς ἐξουσίαν προσελθεῖν
τοῖς ὁμορῶσιν, καὶ ἡ αἰτία αὐτῷ ἀνακριθῇ, καὶ ἐπιμε-
λέστερον ζητηθῇ· ὅτι μὴ ὀφείλει παρακαλοῦντι αὐτῷ
ἡ ἀπρόασις ἀρνηθῆναι· καὶ ἐκεῖνος δὲ ὁ Ἐπίσκοπος ὁ
ἢ δικαίως ἢ ἀδίκως ἐκβαλὼν, ἀναγκαίως καταδέξη-
ται τὰ τῶ πράγματος ἐξετασθῆναι, ἵνα ἢ κυρωθῇ ἢ
διορθωθῇ ἡ γνώμη αὐτῷ. Ταῦτα δηλονότι, ἕως τῆς
παρουσίας τῶν ἀληθεστάτων ἐξάρχων τῆς σὺν Νι-
καίᾳ Συνόδῳ, τῶν πεπραγμένοις συνεβλήθησαν· ἅ

τινα,

τινα, ἐὰν ἐκεῖ ὁ τόπος σὺν αὐτῷ τῷ κομμονιτορίῳ πε-
ριέχονται τῷ ἡμῖν διὰ τῶν ἀποσταλέντων ἀδελφῶν
ἐκ τῆς Ἀποστολικῆς καθέδρας ἐμφανισθέντι, καὶ παρ'
ὑμῖν τῇ αὐτῇ τάξει σὺν Ἰταλίᾳ φυλάττονται, ἀδα-
μῶς καὶ ἡμεῖς τῶν τοιούτων μεμνῆσθαι βουλόμεθα· ἢ
οὐχ ὑποφέρειν ἐπιγόμεθα, ἀλλὰ πιστεύομεν, ὅτι
βοηθοῦντος τῆ ἐλέει Κυρίου τῶ Θεῶ ἡμῶν τῆς σῆς
ἁγιωσύνης προεσώσης τῆς Ῥωμαϊκῆς Ἐκκλησίας,
οὐκέτι λοιπὸν ὑπομένομεν τὸν τύφον τῆσδε. φυλαχ-
θῶσιν δὲ περὶ ἡμᾶς ἄ τινα καὶ μὴ λαλούντων ἡμῶν
ὀφείλουσι φυλαχθῆναι ἀδελφικῇ ἀγάπῃ, ἅπερ κῇ
τῳ σοφίαν καὶ δικαιοσύνῃ, ἴσοι ὁ ὕψιος ἐδωρή-
σατο, καὶ αὐτὸς ἔτι μᾶλλον σωτηρᾶς ὀφείλειν φυλαχθῆ-
ναι, ἐὰν τυχὸν ἀλλοίως ἔχωσιν οἱ Κανόνες τῆς σὺν
Νικαίᾳ Συνόδῳ· ἡμεῖς γὰρ πλείοσι συντυγχάνοντες
βιβλίοις, εὑράμεν ἀνέγνωμεν εἰς τῷ σὺν Νικαίᾳ Σύ-
νοδον σὺν Ῥωμαϊκοῖς βιβλίοις, ὃν τόπον σὺν τῇ προ-
λεχθέντι κομμονιτορίῳ αὐτόθεν ἀπεσάλησαν· ὅμως,
ἐπειδὴ σύταῦθα εἰς εὐδὲν βιβλίον γραικὸν ταῦτα εὑρεῖν
ἠδυνήθημεν ἐν τῇ ἀναπολικῶν Ἐκκλησιῶν, σὺν ἄλ-
λοντα τὰ αὐτὰ ψηφίσματα, δυνάσθαι τὰ αὐθεν-
τικὰ ἔτι μᾶλλον εὑρεθῆναι, ἡμῖν προσενεχθῆναι μᾶλ-
λον ποθοῦμεν· διὸ κῇ τῳ σῷ σεβασμιότητι δυσω-
πῶμεν, ἵνα γράψαι κῇ αὐτὸς ἔτι μᾶλλον καταξιώσῃς πρὸς
τὰς ἐκείνων τῇ μερῶν ἱερεῖς, πάντως τῆς σὺν Ἀντιο-
χείᾳ Ἐκκλησίας, καὶ τῆς Ἀλεξανδρέων, καὶ τῆς σὺν

Κων-

Κωνσταντινουπόλει, καὶ ἄλλοις δέ, ἐὰν παρασῇ τῇ σῇ ἁγιωσύνῃ, ὅπως ἐκεῖθεν πρὸς ἡμᾶς οἱ ἐν Νικαίᾳ παρὰ τοῦ Ἁγίων Πατέρων ὁρισθέντες ἔλθωσιν Κανόνες, σὺν παπεξαίρετον τιὼ Θεργεσίαν ταύτῃ πάσαις ταῖς δυτικαῖς Ἐκκλησίαις τῇ τοῦ Κυρίου βοηθείᾳ συνεισάγοντος. τίς γὰρ ἀμφιβάλλει τὰ ἴσα ἀληθέσατα εἶναι σὺν γραικοῖς τῆς ἐν Νικαίᾳ συναθροισθείσης Συνόδου, ἅτινα ἀπὸ ὅτως διαφόρων τόπων καὶ ἐπισήμων Γραικῶν Ἐκκλησιῶν προσευχθέντα καὶ συγκριθέντα ὁμονοοῦσιν; ὅπερ ἕως ἂν γένηται τὰ ἐν τῷ προλεχθέντι κομμονιτορίῳ ἡμῖν προσευχθέντα περὶ τοῦ πρὸς τὸν τῆς Ῥωμαϊκῆς Ἐκκλησίας ἱερέα ἐκκλήτων τοῦ Ἐπισκόπων, καὶ περὶ τοῦ αἰτιῶν τῶν κλησικῶν τοῦ ὀφειλομένων περαιοῦσθαι παρὰ τοῖς τοῦ ἰδίων αὐτῶν ἐπαρχιῶν Ἐπισκόποις ἡμᾶς ὁμολογοῦμεν καὶ φυλάξοντας ἕως τῆς ἐπικυρώσεως, καὶ τιὼ ὑμετέραν μακαριότητα, θέλοντος τοῦ Θεοῦ πρὸς τὸ ἡμῖν βοηθήσαντα θαρροῦμεν· τὰ δὲ λοιπὰ τὰ ἐν τῇ ἡμετέρᾳ Συνόδῳ πραχθέντα καὶ βεβαιωθέντα, ἐπειδὴ οἱ προλεχθέντες ἀδελφοὶ ἡμῶν Φαυστῖνος ὁ Συνεπίσκοπος, Φίλιππος καὶ Ἄσελλος οἱ Πρεσβύτεροι, μεθ' ἑαυτῶν ἐπιφέρονται, ἐὰν καταξιώσητε, γνωσὰ ποιήσουσιν τῇ ὑμετέρᾳ ἁγιωσύνῃ. Καὶ ὑπέγραψαν. Ὁ Κύριος ἡμῶν φυλάξαι σε ἡμῖν ἐπὶ πλείστους χρόνους μακαριώτατε ἀδελφέ. Ὑπέγραψαν ὁμοίως, Ἀλύπιος, Αὐγουστῖνος, Ποσσείδιος, Μαξῖνος, καὶ οἱ λοιποὶ Ἐπίσκοποι.

ΑΡΧΑΙ

ΑΡΧΑΙ τὰ πρὸς τιὼ ἐν Ἀφρικῇ Συνόδου αὐτίγραφα Κυρίλλου τοῦ τῆς Ἀλεξανδρέων Ἐπισκόπου. σὺν οἷς τὰ αὐθεντικὰ τῆς σὺν Νικαίᾳ Συνόδου ἀπὸ Γραικοῦ μεταβληθέντα διὰ Ἰννοκεντίου Πρεσβυτέρου ἀπέσταλεν· αἵτινες ἐπιστολαὶ μετὰ τῆς σὺν Νικαίᾳ Συνόδου διὰ τοῦ μνημονευθέντος Ἰννοκεντίου Πρεσβυτέρου καὶ Μαρκέλλου Διακόνου τῆς σὺν Καρχηδόνι Ἐκκλησίας, τῷ ἁγιωτάτῳ Βονιφατίῳ Ἐπισκόπῳ τῆς Ῥωμαικῆς Ἐκκλησίας, τῇ πρὸ ἓξ Καλανδῶν Δεκεμβρίων ἀπεστάλησαν. Κυρίοις τιμιωτάτοις καὶ ἁγιωτάτοις ἀδελφοῖς καὶ Συνεπισκόποις, Αὐρηλίῳ, Βαλεντίνῳ, καὶ πάσῃ τῇ ἐν Καρχηδόνι συναθροισθείσῃ ἁγιωτάτῃ Συνόδῳ, Κύριλλος ἀσπαζόμενος σὺν Κυρίῳ τιὼ ὑμετέραν ἀγάπην. Τὰ γραφέντα παρὰ τῆς ὑμετέρας τιμιότητος πολλὴν ἔχοντα θρησκείαν, μετὰ πάσης χαρᾶς διὰ τοῦ τέκνου ἡμῶν Ἰννοκεντίου τοῦ Πρεσβυτέρου ἐδεξάμην· πάντων δὲ παρ' ὑμῶν ἐλπισθέντων, ὥστε ἐν τῇ τῆς ἡμετέρας Ἐκκλησίας κειμένα τὰ ἀληθέσατα ἴσα τῆς σὺν τῇ Νικαέων μητροπόλει τῆς Βιθυνίας αὐθεντικῆς Συνόδου, τὰ παρὰ τοῦ Ἁγίων Πατέρων ὁρισθέντα καὶ βεβαιωθέντα ὑπομάτω τῆς ὁμολογίας τῆς ἡμετέρας πίστεως, τῇ ὑμετέρᾳ ἀγάπῃ ἡμᾶς ὑποσεῖλαι ἀναγκαῖον ἡγησάμην, Κύριοι τιμιώτατοι ἀδελφοί, ἀσπασμὸν προηγησάμενος διὰ τοῦ αὐτοῦ τέκνου ἡμῶν Ἰννοκεντίου τοῦ Πρεσβυτέρου, τὰ πιστότατα ἴσα τὰ τῆς αὐθεντικῆς Συνόδου τῆς σὺν τῇ Νικαέων

ναέων πόλει τῆς βιθυνίας ἐχομεν, τῇ ὑμετέρᾳ ἀποστείλαι ἀγάπῃ· ὅπερ καὶ ἐν τῇ Ἐκκλησιαστικῇ Ἱστορίᾳ ζητοῦντες εὑρήσετε· περὶ δὲ τοῦ πάσχα, ὡς ἐγράψατε, ἀγγέλομεν ὑμῖν, τῇ πρὸ δεκαεπτὰ Καλανδῶν Μαΐων ἡμᾶς ἐπιτελέσοντας τῇ ὑπεισερχομένῃ Ἰνδικτιόνι.

Η΄ Τύπογραφή. ὁ Θεὸς καὶ ὁ Κύριος ἡμῶν, τὴν ἁγίαν ὑμῶν Σωόδον φυλάξαι, ὅπερ ἔχομεθα τιμιώτατοι ἀδελφοί.

ΑΡΧΕΤΑΙ ἡ Ἐπιστολὴ Ἀττικοῦ τοῦ Ἐπισκόπου Κωνσταντινουπόλεως, πρὸς τοὺς αὐτοῦ. Τοῖς Κυρίοις Τιμιωτάτοις καὶ Μακαριωτάτοις ἀδελφοῖς καὶ Συνεπισκόποις, Αὐρηλίῳ, Βαλεντίνῳ καὶ τοῖς λοιποῖς τοῖς ἐν τῇ Ἀφρικῇ συνελθοῦσιν Σωόδῳ, Ἀττικὸς Ἐπίσκοπος. Διὰ τοῦ τέκνου ἡμῶν Μαρκέλλου τοῦ ὑποδιακόνου ὑμῶν, γράμματα τῆς ὑμετέρας ἀγάπης μετὰ πάσης ἀχαριστίας ἐδεξάμην, τῷ Κυρίῳ ἀχαριστῶν, ὅτι ἠξιώθην τοσούτων ἀδελφῶν ἀλογίας ἀπολαῦσαι· Κύριοι Μακαριώτατοι ἀδελφοί ἐγράψατε, δηλαδὴ ἵνα τοὺς ἀληθεστάτους Κανόνας τοὺς ἐν τῇ Νικαέων μητροπόλει τῆς Βιθυνίας παρὰ τῶν Πατέρων ὁρισθέντας μετὰ τοῦ τῆς πίστεως ἔκθεσιν ἀποστείλω, καὶ τίς ἐστιν ὁ τοῦ κοινοῦ πίστιν καὶ τοὺς ὅρους τοὺς ἀπὸ τῶν Πατέρων βεβαιωθέντας τοῖς ἰδίοις ἀδελφοῖς ἀνάμενος; ὅθεν διὰ τοῦ αὐτοῦ τέκνου ἡμῶν Μαρκέλλου τοῦ ὑποδιακόνου ὑμῶν πάνυ ἀποδόντος, καθὼς οἱ ἐν Νι-

καίᾳ ἀπὸ τῶν Πατέρων ὡρίσθησαν Κανόνες, ἐν ὁλοκλήρῳ, ὡς ἐκελεύσατε, ἀπέσταλα, αἰτῶν τοῦ ὑμετέραν Ἁγίαν Σιώσδον ὑπὲρ ἐμοῦ πλείστας εὔξασθαι καταξιῶσαι.

Η΄ Τύπογραφή. Ὁ Κύριος ἡμῶν φυλάξαι τοῦ ὑμετέραν ἁγιωσύνην ὅπερ ἐχόμεθα ἁγιώτατοι ἀδελφοί.

ΑΡΧΕΤΑΙ τὰ ἴσα τῆς ἐν Νικαίᾳ Συνόδου τὰ ὑποσταλέντα τῇ πρὸ ἓξ Καλανδῶν Δεκεμβρίων, μετὰ τοῦ ὑπατείαν τῶν εὐδοξοτάτων βασιλέων Ὀνωρίου τὸ δωδέκατον, καὶ Θεοδοσίου τὸ ἕνατον, τῶν Αὐγούστων, Βονιφατίῳ τῷ Ἐπισκόπῳ Ῥώμης.

Πιστεύομεν εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα, ὁρατῶν τε καὶ ἀοράτων ποιητήν· καὶ εἰς ἕνα Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ, τὸν γεννηθέντα ἐκ τοῦ Πατρὸς μονογενῆ, τοῦτέστιν ἐκ τῆς οὐσίας τοῦ Πατρός· Θεὸν, ἐκ Θεοῦ· φῶς ἐκ φωτός· Θεὸν ἀληθινόν, ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα· ὁμοούσιον τῷ Πατρί· δι' οὗ τὰ πάντα ἐγένετο, τά τε ἐν οὐρανῷ καὶ τὰ ἐν τῇ γῇ· τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τοῦ ἡμετέραν σωτηρίαν κατελθόντα καὶ σαρκωθέντα καὶ ἐνανθρωπήσαντα· παθόντα, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστάντα, καὶ ἀνελθόντα εἰς τοὺς οὐρανούς, καὶ πάλιν ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς· καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον· τοὺς δὲ λέγοντας, ἦν καιρὸς ὅτε οὐκ ἦν· καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο, ἢ

ἐξ ἑτέρας ὑποστάσεως ἢ οὐσίας ἢ ζεπτὸν ἢ ἀλλοιωτὸν τὸν Τἱὸν τοῦ Θεοῦ. τοὺς τοιούτους ἀναθεματίζει ἡ καθολικὴ καὶ Ἀποστολικὴ Ἐκκλησία.

Τῷ παρόντι συμβόλῳ τῆς πίστεως, καὶ τὰ ἴσα τοῖς ὅρων τῆς αὐτῆς ἁγίας Νικαίας Συνόδου ἐν τοῖς μνημονευθέντων ἱερέων προσεζεύχθησαν, ὡς ἀνωτέρω ἐν πᾶσιν περιέχονται. ἅπερ ἡμεῖς ἐνταῦθα πάλιν τὰ αὐτὰ γραφῆναι ἀναγκαῖον οὐχ ἡγησάμεθα.

Ἀ'ΡΧΕΤΑΙ ἡ ἐπιστολὴ τῆς ἁγίας Συνόδου πρὸς Κελεστῖνον τὸν Πάπαν, τῆς Ῥωμαίων πόλεως Ἐπίσκοπον. Δεσπότῃ ἀγαπητῷ καὶ Τιμιωτάτῳ ἀδελφῷ Κελεστίνῳ Αὐρήλιος, Παλατῖνος, Ἀντώνιος, καὶ οἱ Σερβοὺς δεῖ, Τερεντίος, Φουρτουνᾶτος, Μαρτῖνος, Γαινσάριος, Ὀπτᾶτος, Κελτίκιος, Δονᾶτος, Θεάσιος, Βικεντίος, Φερεντατιανὸς, καὶ οἱ λοιποὶ οἱ ἁγίᾳ πάσῃ τῇ Συνόδῳ τῆς Καρχηδόνος ὁρισθέντες.

Ηὐχόμεθα ὃν τρόπον ἡ σὴ ἁγιωσύνη περὶ τῆς παρουσίας τοῦ Ἀπιαρίου χαρέντας ὑμᾶς ἐδήλωσεν γραμμάτων πεμφθέντων διὰ τοῦ Συμπρεσβυτέρου ἡμῶν Λέοντος, ὅτως καὶ ἡμεῖς ὁμοίως περὶ τοῦ καθαρισμοῦ τοῦ αὐτοῦ τὰ παρόντα γράμματα μετὰ χαρᾶς ἀπεστείλαμεν· ἵν γὰρ δηλαδὴ καὶ ἡ ἡμετέρα καὶ ἡ ὑμετέρα προθυμία ἀσφαλεστέρα, καὶ οὐδὲ (*) στολικὴ ἐδόκει ἡ περὶ τοῦ ἀκμίου ἀκριβὲς ἢπερ ὡς περὶ ἀκριβοῦς προκηρυσα-

(*) Πβτική.

μεν.

μεν· παραγενομένου τοίνυν πρὸς ἡμᾶς τοῦ ἁγιωτάτου ἀδελφοῦ καὶ Συμπρεσβυτέρου ἡμῶν Φαυστίνου, συνήξαμεν Συνόδον, καὶ ἐπισκέψασθαι διὰ τοῦτο αὐτὸν μετ' ἐκείνου πεμφθέντα, ἵνα ὡς περ ἅπας τῇ αὐτῇ σπουδῇ τῷ Πρεσβυτέρῳ ἀπεδόθη, ὅπως καὶ νῦν διωρθωθῇ τῷ αὐτῷ σκοπῷ ἐκ τῆς ἀπὸ τῆς ἁγίας Συνόδου ὑποβληθέντων τοσούτων ἐγκλημάτων καθαρθῶσι· ὅτινος τὰ τοσαῦτα καὶ ὅπως παμμεγέθη ἀποπήματα, ἡ πληθὺς καταδραμοῦσα τῆς ἡμετέρας Συνόδου εὗρεν, ὅτι καὶ τοῦ μνημονευθέντος τοῦ παροικίαν μᾶλλον ἤπερ κρίσιν, καὶ τοῦ ὡς ἐνδίκου σπουδοῦ μᾶλλον ἤπερ διαγνώσεως δικαιοσύνῃ ὑπερεύκησεν· πρῶτον μὲν γὰρ αὐτέσχε μεγάλως πάσῃ τῇ Συνόδῳ διαφόρους ὕβρεις ἐπιφέρων, ὡσανεὶ τὰ περιβλέγια τῆς Ῥωμαϊκῆς Ἐκκλησίας διεκδικῶν· καὶ θέλων αὐτὸν παρ' ἡμῶν εἰς κοινωνίαν δεχθῆναι, ἂν ἡ σὺ ἁγιωσύνη πιστεύσασα ἐκκαλεῖσθαι, ὅπερ ἀποδεῖξαι οὐκ ἠδυνήθη, τῇ κοινωνίᾳ ἀποδέδωκεν· ὅμως ἦττον αὐτῷ τοῦτο διεγένετο, ὅπερ ἔτι μᾶλλον τῇ ἀναγνώσει τῶν πεπραγμένων κρειττόνως γνόντες, ζημέρα μὲν τοι δίκης ἐπὶ μόχθοις κινηθείσης. ἐν ὅσῳ τὰ διάφορα τῷ αὐτῷ ὑποβληθέντα σωζόμενοι ἐζητοῦμεν, ὁ Θεὸς ὁ δίκαιος κριτὴς, ὁ ἰσχυρὸς καὶ μακρόθυμος, πάσῃ τε παροικίᾳ τοῦ Συνεπισκόπου ἡμῶν Φαυστίνου, καὶ τῆς ζιφεργίας τοῦ αὐτοῦ Ἀπιαρίου, οἷς τὰς ἀθεμίτους αὐτοῦ αἰχρότητας συγκαλύψαι ἐπρεσβεύετο· μεγάλη σωτηρία ἔπεσεν τῆς σι-

χαντῆς

χαντῆς δηλαδὴ κ᾽ δυσωδες᾽έρας ἐπιμονῆς καταργηθείσης κ᾽ τῆς αὐαιχιωτίας τῆς ἀρνήσεως, δι᾽ ἧς τοσούτων ἡδονῶν τὸν βόρβορον ἐβέλετο καταβυθίσαι. τῷ γὰρ Θεῷ ἡμῶν τιὼ σωειδήσιν αὐτῷ συνεχωρήσαντος, κ᾽ τὰ ἐν τῇ καρδίᾳ κρυπτὰ ὡς ἐν ἰλύϊ τῇ ἐγκλημάτων ἤδη καταδεδικασμένα, πᾶσιν ἔτι μιὼ τοῖς ἀνθρώποις δημοσιδσαντος, αἰφνιδίως εἰς ὁμολογίαν παύτων τῇ ζωβληθέντων αὐτῷ ἐγκλημάτων ὁ δόλιος ἀρνητὴς ἐξέρρηξεν· κ᾽ μόλις ποτὲ περὶ παύτων τῇ ἀπιθανων ὀνειδῶν ἑκοντὶ αὐτὸς ἑαυτὸν ἤλεγξεν, κ᾽ αὐτιὼ ὁμοίως τιὼ ἡμετέραν ἐλπίδα, ἣ τινι κ᾽ ἐπισβόσαμεν αὐτὸν, κ᾽ ἠυχόμεθα ἐκ τῶν ἔτως ἐπαιχωταίων στίλων δυύασθαι καθαρθῆναι, μετέστρεψεν εἰς σκανγμὸς, εἰ μὴ ὅτι ταύτιω ἡμῶν τιὼ λύπιω μιᾷ κ᾽ μόνῃ παραμυθίᾳ κατεπράυνεν, ὅτι κ᾽ ἡμᾶς τῷ ὀδυρμῷ τῷ δικαίως καμάτῳ ἀνέλυτωσεν, κ᾽ τοῖς ἰδίοις ζαύμασιν ὁδήποτε ἴασιν, εἰ κ᾽ ἀκουσίως κ᾽ τῆς ἰδίας σωειδήσεως αὐτιμαχομένης ὁμολογήσας προσεσιήσαιο, Κύριε ἀδελφέ. ἐν προφάτῳ τοίνιω τῷ καθήκοντος τῆς ὀφειλομένης προσκυνήσεως ἐκπληρωμένῳ, ἱκετεύομεν, ἵνα τῷ λοιπῷ πρὸς τὰς ὑμετέρας ἀκοὰς, τὰς ἐντεῦθεν παραγινομένας, ἀσχερῶς μὴ προσδέχησθε· μὴ δὲ τὰς παρ᾽ ἡμῶν ἀκοινωνητέας, εἰς κοινωνίαν τῷ λοιπῷ θελήσητε δέξασθαι· ἐπειδὴ τῷτο κ᾽ τῇ ἐν Νικαίᾳ Συνόδῳ ὀρισθὲν ἀσχερῶς εὕροι ἡ σὴ σεβασμιότης· εἰ γὰρ κ᾽ περὶ καθωτέρων κλη-

ρικῶν

ρικῶν κ᾽ περὶ λαϊκῶν φαίνεται ἐκεῖ παραφυλαττεσθαι, πόσῳ μᾶλλον τοῦτο περὶ Ἐπισκόπων βούλεται παραφυλαχθῆναι; μὴ ἔν οἱ σὺ τῇ ἰδίᾳ ἐπαρχίᾳ ἀπὸ τῆς κοινωνίας αὐαρτηθέντες παρὰ τῆς σῆς ἁγιωσύνης, ασεβαίως κ᾽ καθὼς μὴ χρὴ φανῶσιν ἀποκαθισάμενοι τῇ κοινωνίᾳ· κ᾽ τῶν Πρεσβυτέρων δὲ ὁμοίως κ᾽ τῆς ἑπομένων κληρικῶν, τὰς αὐαιδεῖς ἀποφυγὰς, ὡς ἔστινσε ἄξιον, ἀποδιώξει ἡ ἁγιωσύνη σή. ἐπειδὴ κ᾽ ὁ δεῖνα τινος ὅρα τῆς Πατέρων τοῦτο ἀπηγόρθυται τῇ σὺ Ἀφρικῇ Ἐκκλησίᾳ. κ᾽ τὰ ψηφίσματα τῆς ἐν Νικαίᾳ Συνόδου, εἴτε κληρικῶν τῶν καθωτέρω βαθμῶν, εἴτε αὐτὸς τὸς Ἐπισκόπους τοῖς ἰδίοις Μητροπολίταις φανερώτατα κατέπεμψαν· σωνετῶς γὰρ κ᾽ δικαίως σωνῆδεν, ἀτιναδήποτε πράγματα ἀναφωνῶσιν, ταῦτα σὺ τῆς ἰδίοις ὀφείλειν περαιοῦσθαι τόποις. ὅτε γὰρ μιᾷ κ᾽ ἑνὰς προνοίᾳ ἐλογήσαντο ἐλλείπειν τιὼ χάριν τῷ Ἁγίῳ Πνεύματος, δι᾽ ἧς ἡ δικαιοσύνη ἀπὸ τῶν τῷ Χριστῷ ἱερέων κ᾽ ὁρᾶται φρονίμως κ᾽ κατέχεται σαθερῶς· μάλιστα, ὅτι σοὶ κ᾽ ἑνὰς ῳ συγκεχώρηται, ἐαὶ περὶ τῆς δίκης τῆς δλαγνωσῶν προΐσαται αὐτῇ πρὸς τὰς Συνόδους τῆς ἰδίας ἐπαρχίας, ἢ ἔτι μιὼ εἰς οἰκουμενικὼ Σύνοδον ἐκκαλέσασθαι. εἰ μὴ ἆρα τίς ἐστιν, ὅστις πιστεύσει, σοὶ ὡτινιδήποτε δυύασθαι τὸν Θεὸν ἡμῶν ἐμπνεῦσαι τιὼ δικαιοσύνῃ, τῆς δὲ ἀναιθμήτοις εἰς Σύνοδον συνηθροισμένοις ἱερεῦσιν ἀρνεῖσθαι; πῶς δὲ αὖτη ἡ περαματικὴ κρίσις βεβαία ἔ-

σαι, πρὸς ὧ τῆ μαρτύρων τὰ ἀναγκαῖα πρόσωπα, ἢ διὰ τὸ τῆς φύσεως, ἢ διὰ τὸ τῆ γήρως ἀσθένειαν, ἢ πολλοῖς ἄλλοις ἐμποδισμοῖς συνέχεσθαι δύναται; περὶ γὰρ τῆ, τινὰς ὡσανεὶ ἐκ τῆ πλευρᾶ τῆς σῆς ἁγιωσύνης πέμπεσθαι, ὑδεμιᾶ τῆ Πατέρων συνόδῳ ὀφειλὼ ἀντείσηκομεν. ἐπειδὴ ὅπερ πάλαι διὰ τῆ αὐτῆ Συνεπισκόπου ἡμῶν Φαυστίνου, ὡσανεὶ ἐκ μέρους τῆς τὸ Νικαίᾳ Συνόδου αὐτόθεν ἀπέσαλπο τὸ ταῖς ἀληθεστέραις ὑπογραφαῖς τῆς τὸ Νικαίᾳ, ἅς περ ἐδεξάμεθα ἀπὸ τῆ Ἁγιωτάτου Κυρίλλου, τῆ τῆς Ἀλεξανδρέων Ἐκκλησίας Συνεπισκόπου ἡμῶν, καὶ παρὰ τῆ προσκυνητῆ Ἀττικῆ τῆ τὸ Κωνσταντινουπόλεως Ἐπισκόπου, πεμφθείσας ἐκ τῆς αὐθεντικῶν· αἵτινες ἔτι μὴν πρὸ τότε διὰ Γεννεσσίου τῆ Πρεσβυτέρου, καὶ Μαρκέλλου τῆ Διακόνου, δι' ὧν πρὸς ἡμᾶς παρ' ἐκείνων ἀπεσάλησαν, τῆς τῆς προσκυνητῆς μνήμης Βονιφατίῳ τῷ Ἐπισκόπῳ τῷ προηγησαμένῳ ὑμᾶς παρ' ἡμῶν ἐξεπέμφθησαν· πιθὸ τί ποτε οὐκ ἠδυνήθημεν δρᾶν. ἐμβιβασὰς τοίνυν κλειδὰς ἡμῶν τινῶν αἰτούντων μὴ θέλετε ἀποστέλλειν μήτε παραχωρεῖν, ἵνα τὸν καπνώδη τύφον τῆ Κόσμου δόξωμεν εἰσάγειν τῇ τῆ Χριστῆ Ἐκκλησίᾳ, ἥτις τὸ φῶς τῆς ἁπλότητος καὶ τῆς Ταπεινοφροσύνης τιμῶ ἡμέραν τοῖς τὸν Θεὸν ἰδεῖν ἐπιθυμοῦσιν προσφέρει. τῆ γὰρ Κλαυσίμου Ἀντιοχείου ἤδη ἀπὸ τῆ ἀδελφῆ ἡμῶν Φαυστίνου καὶ τὰς ἰδίας ἀθεμίτους ἀχρειοσύνας ἐκ τῆς τῆ Χριστῆ Ἐκ-

κλη-

κλησίας ἀνακινηθέντος, ὅτι τῶν τῇ δοκιμῇ καὶ ῥυθμίσει τῆς σῆς ἁγιωσύνης σὺν τῷ σώζεσθαι τιμῶ ἀδελφικῶ ἀγάπῳ περαιτέρω ἡ Ἀφρικὴ ὑδαμῶς ὑπομείνῃ.

Ἡ ὑπογραφή. Ὁ Θεὸς ἡμῶν τιμῶ ἁγιωσύνῃ ὑμῶν ἐπὶ μήκιστον χρόνον φυλάξει ὑπὲρ ἡμῶν εὐχομένῃ, Κύριε ἀδελφέ.

ΕΚ ΤΩΝ ΠΡΑΧΘΕΝΤΩΝ ὑπομνημάτων ἐν Κωνσταντινουπόλει, ἢ περὶ Ἀγαπίου καὶ Βαγαδίου, ἑκατέρου ἀντεχομένου τῆς Ἐπισκοπῆς Βόρης.

Τῇ πατείας τῷ εὐσεβεστάτων καὶ Θεοφιλεστάτων βασιλέων ἡμῶν, Φλαβίου Ἀρκαδίου Αὐγούστου τὸ τέταρτον, καὶ Ὀνωρίου τὸ δεύτερον, τῇ πρὸ τριῶν Καλανδῶν Ὀκτωβρίων, σὺν τῷ φωτεινῷ τῆς τῆ Κωνσταντινουπόλιν ἁγιωτάτης καθολικῆς Ἐκκλησίας καθεδρεύοντος τῷ ἁγιωτάτου Ἐπισκόπου, Νεκταρίου τῆς αὐτῆς Κωνσταντινουπόλεως, Θεοφίλου Ἀλεξανδρείας, Φλαβιανῆ Ἀντιοχείας, Ἑλλαδίου Καισαρείας Καππαδοκείας, Γελασίου Καισαρείας Παλαιστίνης, Γρηγορίου Νύσσης, Ἀμφιλοχίου Ἰκονίου, Παύλου Ἡρακλείας, Ἀραβιανῆ Ἀγκύρας, Ἄμμωνος Ἀδριανουπόλεως, Φαλερίου Ταρσῆ, Λυκίου Ἱερᾶς Πόλεως, Ἐλπιδίου Λαοδικείας, Παύλου Ἀλεξανδρέως, Διοσκόρου Ἑρμουπόλεως, Προβατίου Βερονίκης, Θεοδώρου Μοψουεστίας, Βίζου Σελευκείας, Ἐπαγάθου Μαρκιανουπόλεως, Γεροντίου Κλαυδιουπόλεως, καὶ ἑτέρων

διαφόρων Ε'πισκόπων καὶ παντὸς τοῦ ἱερατείου· καὶ εἰσελθόντων, Βαγαδὶς καὶ Α'γαπὶος, Νεκτάριος Ε'πίσκοπος Κωνσταντινουπόλεως εἶπεν· τῆς ἁγίας ταύτης Συνόδου τῇ Θεῷ χάριν πάλιν ἐν τῷ ἁγίῳ τόπῳ τούτῳ συνειλεγμένης, εἰ δοκιμάζει ἡ αὐτὴ τῶν Ἁγίων ἀδελφῶν καὶ συλλειτουργῶν Συνόδος· ἐπειδὴ καὶ ἐσώθας ὁρῶ τοὺς διαφερομένους πρὸς ἑαυτοὺς περὶ τῆς Βοστρηνῶν Ε'πισκοπῆς, τοὺς ἀδελφοὺς ἡμῶν, Βαγάδιον καὶ Α'γάπιον, τοῦ πρὸς ἀλλήλους ἐνάρξασθαι δικαίων.

Καὶ μετὰ τὸ, πραχθῆναί τινα παρ' αὐτοῖς χάριν τῆς αὐτῆς ἐνθέσεως καὶ ἐμφανισθῆναι καθαίρεσιν τοῦ ῥηθέντος Βαγαδὶς γενομένην ὑπὸ δύο καὶ μόνων Ε'πισκόπων τοῦ καὶ πεπελθηκότων ἤδη καὶ τὸν καιρὸν τῆς αὐτῆς Συνόδου.

Α'ραβιανὸς Ε'πίσκοπος Α'γκύρας εἶπεν· ὁ μὲν παρὼν οὐκ ἔνα δίκην, ἀλλὰ τὰς ἐφεξῆς βίᾳ πάντας, δεδοικὼς τὸ ἀξιῶσαι τὴν Α'γίαν Σύνοδον διαλαλῆσαι, ἔξεστι γενέσθαι καθαίρεσιν παρὰ δύο Ε'πισκόπων, ἢ οὔ; καὶ ἢ ἀπόντος μητροπολίτου ἔξεστιν, ἢ οὔ; οὐδὲν πρόκειμα πρὸς τὴν παροῦσαν ὑπόθεσιν· δέδοικα δὲ μὴ ἐκ τῶν ὑπομνημάτων τούτων τινὲς λαβόμενοι ἀφορμὰς τοιαύτας τολμήσωσιν, ἀξιῶ ὑμᾶς ἀποκλεῖσθαι.

Νεκτάριος Ε'πίσκοπος τῆ Κωνσταντινουπόλει εἶπεν· Ε'παινετῶς εἰσηγήσατο ὁ διαλαβέστατος Ε'πίσκοπος Α'ραβιανός· ὁ μὲν δυνάμενος δίκην ἀφορμᾶσθαι,

θαι, τὸ παρελθὸν μὴ καθαιρεῖναντες, τὸ ἐφεξῆς ἀσφαλησώμεθα.

Α'ραβιανὸς Ε'πίσκοπος Α'γκύρας εἶπεν. τὸ παρελθὸν ἡ τῶν Μακαρίων Πατέρων τῶν ἐν Νικαίᾳ Σύνοδος καθαιρείτω, ἡ κελεύουσα μὴ ἐλάττους εἶναι ζιῶν τοὺς χειροτονοῦντας, μὴ δὲ ἀπόντος μητροπολίτου· τὸ δὲ μέλλοντος ἕνεκεν, δεδοικὼς ἐγὼ τὴν ἐρώτησιν ἐποιησάμην· ἀξιῶ οὖν ὑμᾶς σαφῶς διαλαλῆσαι, καὶ μήτε ἠρτημένως μήτε ἀμφιβόλως ὡς τε μὴ ἐξεῖναι ὑπὸ δύο ἀνθρώπων μήτε καθαιρεῖσθαι μήτε χειροτονεῖσθαι Ε'πίσκοπον, ἀκολούθως τῇ Νικαίᾳ Συνόδῳ.

Καὶ μεθ' ἕτερα, Θεόφιλος Ε'πίσκοπος Α'λεξανδρείας εἶπεν. ἐπὶ τῶν ἀπελθόντων ὁ δυνατὸν ψῆφον ἐμφέρειν ἀναπαύσεως. ἐπειδήπερ μὴ παρόντες κατεκρίθησαν· εἰ μέντοιγε περὶ τῶν μελλόντων διασκοπεῖν τὶς τῶν ὀφειλόντων καθελεῖν, φαίνεταί μοι, μὴ μόνον ζῶς παρεῖναι προσήκειν, ἀλλὰ καὶ, εἰ δυνατὸν, τοὺς πάσας ἐπαρχιώτας· ἵνα τῇ τῶν πολλῶν ψήφῳ ἀνειβεστέρα ἡ κατάκρισις τοῦ ἀξίου τῆς καθαιρέσεως δεικνύηται παρόντος καὶ πεισομένου.

Νεκτάριος Ε'πίσκοπος Κωνσταντινουπόλεως εἶπεν· νομίμων εἰσηγήσεων καὶ δογμάτων πρυτανευομένων ἀκόλουθον, ὁ διὰ προσώπων τινὰς αἰτίας τὰ τοιαῦτα δογματίζεσθαι· τοιγαροῦν καθάπερ ὁ ἁγιώτατος Ε'πίσκοπος Α'ραβιανὸς εἰσηγήσατο τὰ μέλλοντα ἀσφαλίσασθαι βουλόμενος, ἀκόλουθος καὶ φιλάνθρωπος ἡ τοῦ

Α'γιοπάτ Ε'πισκόπ Θεοφίλ ψῆφος διοισαμένη, μὴ χρῆναι πρὸς τὸ ἑξῆς, μήτε παρὰ τριῶν μήτέ γε παρὰ δύο τὸν ὑπαθίωνον δοκιμαζόμενον καθαρεῖσθαι, ἀλλὰ γὰρ πλείονος Συνόδ ψήφῳ κ τῆς ἐπαρχίας· καθὼς κ οἱ Α'ποστολικοὶ Κανόνες διωρίσαντο.

Φλαβιανὸς Ε'πίσκοπος Α'ντιοχείας εἶπεν· ἅπερ κατέθεντο οἱ περὶ τὸν ἁγιώτατον κ ὁσιώτατον Ε'πίσκοπον Νεκτάριον, κ τὸν ἁγιώτατον κ ὁσιώτατον Ε'πίσκοπον Θεόφιλον δῆλα, κ φέρομεν πάντες οἱ Ε'κκλησιαστικοί.



Η' Ε'. οἰκουμενικὴ Συνόδος γέγονεν ἐπὶ Γ'ρατιανοῦ βασιλέως τὸ ά. ρξέ. Α'γίων Πατέρων συνελθόντων εἰ Κωνσταντινουπόλει, ἥτις ἐπεκύρωσε τὰ δογματισθέντα ὑπὸ τῆς Α'γίας δ'. Συνόδ, κ ἐβεβαίωσε, κ τὰς κατ' αὐτῆς ἀναθεμάτισε, κ Ω'ρειγενίλιον, κ τὰ ἀσεβῆ αὐτῦ συγγράμματα. Εὐάγριόν τε κ Δίδυμον, κ τὰ παρ' αὐτῶν Κεφάλαια· τὸν Μοψυεστίας Θεόδωρον τὸν Νεστορίυ διδάσκαλον, κ τὰς αὐτῦ βλασφημίας. Α'νθιμόν τε κ Πέτρον κ Ζωώραν, κ τὰς ὁμοδοξοῦντας αὐτοῖς. κ τὰ παρὰ τῦ Θεοδωρήτυ συγγραφέντα Κεφάλαια κ τῷ ιβ ά. ἀποστολῷ. Κανόνας δὲ αὕτη ἡ Συνόδος οὐκ ἐξέθετο.

Χρόνοι δὲ ἀπὸ Χριστ. 451.

Η' ς'. Συνόδος γέγονεν ἐν τῇ βασιλίδι τῆς πόλεως, βασιλεύοντος Κωνσταντίνυ τῦ Πωγωνάτυ τῦ υἱοῦ Η'ρακλείυ. ρό. Α'γίων Πατέρων συναθροισθέντων κ Θεοδώρυ ἐπισκοπεύσαντος ἐν Φαρᾷ, Ω'νωρίυ Ρ'ώμης, Κυρίλλυ Α'λεξανδρείας, Σεργίυ, Πύρρυ, Παύλου, Πέτρου τῆς Κωνσταντινουπόλεως Ε'κκλησίας προεδρεύσαντος, Μακαρίυ Α'ντιοχείας, κ Στεφάνυ τῦ μαθητῦ αὐτῦ, κ Πολυχρονίυ τῦ νηπιόφρονος γέροντος, τῶν τολμησάντων δογματίσαι ἐν θέλημα κ μίαν ἐνέργειαν ἔχειν μετὰ τὴν σάρκωσιν

